4° H. Eccl. 3148

# DIEM NATALEM

AVGVSTISSIMI ET POTENTISSIMI

# IMPERATORIS AC REGIS

# GVILELMI II

AB

# ACADEMIA MARPVRGENSI

DIE XXVII. M. IANVARII ANNI MDCCCXCIII

ORATIONE IN VNIVERSITATIS AVLA HABENDA

**CELEBRANDVM**

INDICIT

THEODORVS BIRT

PHIL. DR. PHILOLOGIAE ET ELOQVENTIAE P. P. O.
SEMINARII PHILOLOGI DIRECTOR.

---

Inest Iosephi epitomae adhuc ineditae pars sexta a BENEDICTO NIESE historiae antiquae et philologiae P. P. O. prolata.

---

MARPVRGI.

TYPIS ACADEMICIS ROBERTI FRIEDRICH.

Universitäts-
München
Bibliothek

AD BIBL.
UNIVERS.
MONAC.

Iosephi epitomae pars sexta, quae nunc prodit, sicut reliquae ex codice Vindobonensi Busbeckiano (hist. gr. 22) expressa est, quem et ipse totum contuli et partem denuo excussit Godofredus Zedler amicus. praeter hunc in libri decimi quarti initio usus sum codice Laurentiano plut. 69 cod. 23, qui in paucis nec gravibus rebus a Busbeckiano discedit. ceterum moneo codices a me collatos esse cum Iosephi integri exemplari; quare fieri potest, ut XV 391 (p. 255, 24) ὑπέβη, quod sententiarum ordini ab epitomatore instituto aptum non est, ex Iosepho restiterit, nisi aliud latet vitium.

Dabam Marburgi a. d. XIII Kal. Februarias 1893.

**Benedictus Niese.**

Zonaras I p. 395 Bonn.

„σὺ τοίνυν, εἶπε, μετάπεμψαι τοὺς πρώτους αὐτῶν, ἐπιδείξασα δὲ τὸ σῶμα τοὐμὸν 403
ἐκείνοις, ὅπως μοι βούλονται χρῆσθαι ἐπίτρεπε, εἴτε καθυβρίζειν ἀταφίᾳ μου θελήσουσι
τὸν νεκρὸν ὡς πολλὰ πεπονθότες ἐξ ἐμοῦ, εἴτ' ἄλλην τινὰ κατ' ὀργὴν αἰκίαν τῷ σώματι
προσφέρειν. ὑπισχνοῦ δὲ μηδὲν δίχα τῆς ἐκείνων γνώμης ἐν τῇ βασιλείᾳ διαπράξεσθαι.
ταῦτα σου πρὸς αὐτοὺς εἰπούσης ἐγώ τε λαμπρᾶς ἀξιωθήσομαι κηδείας σύ τε βεβαίως 404
ἄρξεις". ταῦτα παραινέσας τῇ γυναικὶ τελευτᾷ βασιλεύσας ἔτη ἑπτὰ καὶ εἴκοσι, βιώσας
ἑνὸς δέοντα πεντήκοντα.

Ἡ δὲ Ἀλεξάνδρα τὸ φρούριον ἐξελοῦσα κατὰ τὰς τοῦ ἀνδρὸς ὑποθήκας τοῖς τε 405
Φαρισαίοις διειλέχθη καὶ πάντα ἐπ' ἐκείνοις θεμένη τά τε περὶ τοῦ νεκροῦ καὶ τὰ περὶ
βασιλείας, εὔνους ἐποίησε καὶ φίλους. οἱ δὲ εἰς τὸ πλῆθος παρελθόντες ἐδημηγόρουν τὰς 406
πράξεις τὰς Ἀλεξάνδρου διηγούμενοι, καὶ ὅτι δίκαιος αὐτοῖς ἀπώλλυτο βασιλεύς, καὶ τὸν
δῆμον εἰς πένθος δι' αὐτὸν τοῖς ἐπαίνοις ἐξεκαλέσαντο, ὥστε καὶ λαμπρότερον τῶν πρὸ
αὐτοῦ βασιλέων αὐτὸν ἐκήδευσαν. δύο μέντοι υἱοὺς Ἀλέξανδρος κατέλιπεν Ὑρκανὸν καὶ 407
Ἀριστόβουλον, τὴν δὲ βασιλείαν εἰς τὴν Ἀλεξάνδραν διέθετο. τῶν δὲ παίδων Ὑρκανὸς
μὲν ἀσθενὴς ἦν πράγματα διοικεῖν βίον ἡσύχιον μᾶλλον ἠγαπηκώς, ὁ δὲ νεώτερος Ἀριστό-
βουλος δραστήριός τε ἦν καὶ θαρσαλέος. ἐστέργετο μὲν οὖν ὑπὸ τοῦ πλήθους ἡ γυνὴ διὰ
τὸ δοκεῖν ἐφ' οἷς ὁ ἀνὴρ αὐτῆς ἐξήμαρτε δυσχεραίνειν. ἡ δὲ ἀρχιερέα μὲν ἀποδείκνυσιν 408
Ὑρκανὸν διὰ τὴν ἡλικίαν, πολὺ μέντοι πλέον διὰ τὸ ἄπραγμον αὐτοῦ, καὶ πάντα τοῖς
Φαρισαίοις ἐπιτρέπει ποιεῖν, οἷς καὶ τὸ πλῆθος ἐκέλευσε πειθαρχεῖν καὶ εἴ τι κὰκ τῶν
νομίμων Ὑρκανὸς ὁ πενθερὸς αὐτῆς κατέλυσεν ὧν εἰσήνεγκαν οἱ Φαρισαῖοι κατὰ τὴν τῶν
πατέρων παράδοσιν, τοῦτο πάλιν ἀποκατέστησε. τὸ μὲν οὖν ὄνομα τῆς βασιλείας εἶχεν 409
αὐτή, τὴν δὲ δύναμιν οἱ Φαρισαῖοι· καὶ γὰρ καὶ φυγάδας οὗτοι κατῆγον καὶ δεσμώτας ἔλυον
καὶ καθάπαξ οὐδὲν δεσποτῶν διέφερον. ἐποιεῖτο μέντοι καὶ ἡ γυνὴ τῆς βασιλείας πρό-
νοιαν, καὶ μισθοφορικὸν συνέστησε, καὶ τὴν ἰδίαν δύναμιν ἐπέδειξε διπλασίονα, ὡς κατα-
πλῆξαι τοὺς πέριξ τυράννους καὶ λαβεῖν ὅμηρα αὐτῶν. ἠρέμει δὲ ἡ χώρα πᾶσα πάρεξ 410
τῶν Φαρισαίων· οὗτοι γὰρ ἐπετάραττον τὴν βασίλισσαν πείθοντες, ὡς κτείνειε τοὺς
Ἀλεξάνδρῳ παραινέσαντας ἀνελεῖν τοὺς ὀκτακοσίους. εἶτα αὐτοὶ τούτων ἕνα σφάττουσι
Διογενῆ καὶ μετ' αὐτὸν ἄλλους ἐπ' ἄλλοις, ἕως οἱ δυνατοὶ παρελθόντες εἰς τὰ βασίλεια 411
καὶ μετ' αὐτῶν Ἀριστόβουλος, ἐῴκει γὰρ τοῖς γενομένοις δυσανασχετῶν καὶ δῆλος ἦν,
καθάπαξ εἰ ἀφορμῆς λάβοιτο, μὴ ἐπιτρέψων τῇ μητρί, ἀνεμίμνησκον ὅσα κατωρθώσαντο
τοῖς κινδύνοις, δι' ὧν τὸ βέβαιον τῆς πίστεως πρὸς τὸν δεσπότην ἐπεδείξαντο, ἀνθ' ὧν
ὑπ' αὐτοῦ μεγίστων ἠξιώθησαν. καὶ ἐδέοντο μὴ ἄχρι παντὸς ἔμπαλιν τρέψαι σφίσι τὰς 412
ἐλπίδας· ἀποφυγόντας γὰρ τοὺς ἐκ τῶν πολεμίων κινδύνους ἐν τῇ οἰκείᾳ ὑπὸ ἐχθρῶν δίκην
βοσκημάτων κόπτεσθαι μηδεμιᾶς τιμωρίας οὔσης. καὶ πλείω δὲ τούτων εἰπόντες καὶ εἰς 416
οἶκτον τῶν τεθνεώτων καὶ τῶν κινδυνευόντων τοὺς Ἀλεξάνδρου δαίμονας ἐπικαλούμενοι,
ἅπαντας ἐκίνησαν τοὺς παρόντας εἰς δάκρυα καὶ μάλιστα Ἀριστόβουλον, ὃς ὅπως ἔχει
γνώμης ἐδήλου πολλὰ τὴν μητέρα κακίζων. ἡ δὲ οὐκ εἶχεν ὅ τι πράξειεν μετὰ τοῦ εὐπρε- 417
ποῦς. μετ' οὐ πολὺ δὲ τὸν υἱὸν Ἀριστόβουλον μετὰ στρατιᾶς ἐξέπεμψεν εἰς Δαμασκὸν 418

---

5 ἐγώ τε] Zonaras ἔγωγε Busb. — λαμπρῶς man. 1 Busb. — 8 i. marg. κδ' Busb. — 24 ἀπέδειξε Iosephus. — 29 γενομένοις, litt. γενο in ras. 5—6 litterarum Busb.

Zonaras I p. 396 Bonn.

κατὰ Πτολεμαίου τοῦ Μενναίου λεγομένου, ὃς βαρὺς ἦν τῇ πόλει γείτων. ἀλλ' οἱ μὲν
419 οὐδὲν ἐργασάμενοι σπουδῆς ἄξιον ἀνέστρεψαν. κατὰ δὲ τοῦτον τὸν καιρὸν ἀγγέλλεται
Τιγράνης στρατιωτῶν μυριάσι τριάκοντα ἐμβεβληκὼς εἰς τὴν Συρίαν καὶ ἐπὶ τὴν Ἰουδαίαν
ἀφιξόμενος. τοῦτο ἐφόβησε τὴν βασίλισσαν καὶ τὸ ἔθνος. δῶρα δὴ πολλὰ καὶ λόγου
420 ἄξια πέμπουσιν αὐτῷ καὶ πρέσβεις πολιορκοῦντι Πτολεμαΐδα. συνετύγχανον οὖν αὐτῷ
421 καὶ ἐδέοντο χρηστὰ περὶ τῆς βασιλίσσης καὶ τοῦ ἔθνους. ὁ δὲ ἀποδεξάμενος αὐτοὺς τῆς
ἐκ διαστήματος θεραπείας ἐλπίδας ὑπετίθετο χρηστάς. ἄρτι δὲ τῆς Πτολεμαΐδος ἑαλω-
κυίας ἀγγέλλεται Τιγράνῃ Ἀκέλαον διώκοντα Μιθριδάτην ἐκείνου μὲν διαμαρτεῖν εἰς τοὺς
Ἴβηρας ἀναφυγόντος, τὴν δὲ Ἀρμενίαν πορθήσοντα πολιορκεῖν. Τιγράνης δὲ ταῦτα ἐγνω-
422 κὼς ἀνεχώρει τὴν ἐπ' οἴκου. μετὰ δὲ τοῦτο τῆς βασιλίσσης εἰς νόσον χαλεπὴν ἐμπεσούσης
Ἀριστόβουλος νυκτὸς ὑπελθὼν μεθ' ἑνὸς τῶν θεραπόντων ᾔει ἐπὶ τὰ φρούρια, ἵνα οἱ
424 πατρῷοι κατετάχθησαν αὐτῷ φίλοι. ξυνῄδει δὲ ἡ αὐτοῦ γυνὴ τῇ πράξει, ἣν κατέλιπεν
αὐτόθι μετὰ τῆς γενεᾶς. καὶ πρῶτον ἀφικόμενος εἰς Ἄγαβρα ὑπεδέχθη πρὸς αὐτῶν.
425 μεθ' ἡμέραν δὲ αἴσθησις γίνεται τῇ βασιλίσσῃ τῆς Ἀριστοβούλου φυγῆς, καὶ μέχρι τινὸς
ᾤετο γεγονέναι τὴν ἀναχώρησιν οὐκ ἐπὶ νεωτερισμῷ. ὡς μέντοι ἧκον ἀγγέλλοντες ἄλλοι ἐπ'
ἄλλοις, ὅτι κατειλήφει τὸ πρῶτον χωρίον καὶ τὸ δεύτερον καὶ ξύμπαντα, εὐθὺς γὰρ ἑνὸς
ἀρξαμένου πάντα ὑπήγετο πρὸς τὸ ἐκείνου βούλημα, τότε δὴ ἐν μεγίσταις ταραχαῖς ὑπῆρχεν
426 ἥ τε βασίλισσα καὶ τὸ ἔθνος. δόξαν οὖν τὴν γυναῖκα αὐτοῦ καὶ γενεὰν εἰς τὸ ὑπὲρ τοῦ
427 ἱεροῦ φρούριον κατέθεσαν. Ἀριστοβούλῳ δὲ ὡς ἂν ἐκ πολλῶν συχνὰ συνήχθη, ἀφ' ὧν
δὴ καὶ κόσμος ἤδη βασίλειος περὶ αὐτὸν ἦν· σχεδὸν γὰρ ἐν ἡμέραις δεκαπέντε χωρίων
428 ἐκράτησεν εἰκοσιδύο, ὅθεν ἀφορμὰς ἔχων στρατιὰν ἤθροιζε· τῶν δὲ Ἰουδαίων οἱ πρεσ-
βύτεροι καὶ Ὑρκανὸς εἰσῄεσαν ὡς τὴν βασίλισσαν καὶ ἐδέοντο ὑποθέσθαι γνώμην περὶ
τῶν ἐνεστώτων· τὸν γὰρ Ἀριστόβουλον τῶν πάντων σχεδὸν ἤδη κυριεύειν, ὁπότε χωρίων
429 τοσούτων κρατήσειεν. ἡ δὲ αὐτοὺς ἐκέλευσε πράττειν ὅ τι δοκοῦσι χρήσιμον εἶναι· αὐτὴ
430 γὰρ μικρὸν ἔτι μέλλειν τῶν πραγμάτων ὡς ἂν ὑπολείποντος ἤδη τοῦ σώματος. ταῦτα
εἰποῦσα μετ' οὐ πολὺ ἐτελεύτησε βασιλεύσασα ἔτη ἐννέα, τὰ δὲ σύμπαντα βιώσασα τρία
καὶ ἑβδομήκοντα.

## Φλαυίου Ἰωσήπου Ἰουδαϊκῆς ἀρχαιολογίας λόγος ιδ'.

περιέχει δὲ ὁ λόγος χρόνον ἐτῶν λβ'.

4 Ἡ μὲν οὖν βασίλισσα Ἀλεξάνδρα οὕτως ἐξ ἀνθρώπων ἐγένετο. παραλαβόντος δὲ
τὴν βασιλείαν Ὑρκανοῦ ὑπατεύοντος Ῥωμαίων Κυίντου τοῦ Ὀρτησίου καὶ Κυίντου Μετέλλου,
ὃς δὴ καὶ Κρητικὸς ἐκαλεῖτο, πόλεμον εὐθὺς ἐκφέρει πρὸς αὐτὸν Ἀριστόβουλος, καὶ τῆς
μάχης αὐτῷ γενομένης πρὸς Ἱεριχοῦντι πολλοὶ τῶν στρατιωτῶν αὐτοῦ πρὸς τὸν ἀδελ-
5 φὸν αὐτομολοῦσιν. οὗ γενομένου φεύγει πρὸς τὴν ἀκρόπολιν Ὑρκανός, ἔνθα συνέβαινε
καθεῖρχθαι τὴν Ἀριστοβούλου γυναῖκα καὶ τοὺς παῖδας αὐτοῦ, καὶ τοὺς ἀντιστασιώτας δὲ
6 καταφεύγοντας εἰς τὸ ἱερὸν περιβόλαιον αἱρεῖ. προσβαλὼν δὲ καὶ λόγους ποιησάμενος

1 *Πτολεμαίου*] Iosephus *πολεμίου* Busb. — 10 *χαλεπὸν* man. 1 Busb. — 30 ab hinc usque ad § 53 praeter Busb. collatus est cod. Laurentianus. — 35 *κατεῖρχθαι* cod. Laur. et Iosephus.



Zonaras I p. 398 Bonn.

πρὸς τὸν ἀδελφὸν περὶ συμβάσεως καταλύεται τὴν ἔχθραν ἐπὶ τῷ βασιλεύειν μὲν Ἀριστό-
βουλον, αὐτὸν δὲ ζῆν ἀπραγμόνως καρπούμενον ἀδεῶς τὴν ὑπάρχουσαν αὐτῷ κτῆσιν.
ταῦτα ἐν τῷ ἱερῷ συνθέμενοι καὶ ὅρκοις καὶ δεξιαῖς πιστωσάμενοι τὰς ὁμολογίας καὶ 7
κατασπασάμενοι τοῦ πλήθους παντὸς ὁρῶντος ἀλλήλους ἀνεχώρησεν ὁ μὲν εἰς τὰ βασίλεια,
Ὑρκανὸς δὲ ὡς ἰδιώτης εἰς τὴν οἰκίαν Ἀριστοβούλου. φίλος δέ τις Ὑρκανοῦ Ἰδουμαῖος 8
Ἀντίπατρος λεγόμενος, πολλῶν μὲν εὐπορῶν χρημάτων, δραστήριος δὲ τὴν φύσιν ὢν καὶ
στασιαστὴς ἀλλοτρίως εἶχε πρὸς τὸν Ἀριστόβουλον καὶ διαφόρως διὰ τὴν πρὸς τὸν
Ὑρκανὸν εὔνοιαν. Νικόλαος μέντοι φησὶν ὁ Δαμασκηνὸς τοῦτον εἶναι γένος ἐκ τῶν 9
πρώτων Ἰουδαίων τῶν ἐκ Βαβυλῶνος εἰς τὴν Ἰουδαίαν ἀφικομένων. ταῦτα δὲ
λέγει χαριζόμενος Ἡρώδῃ τῷ παιδὶ αὐτοῦ βασιλεῖ τῶν Ἰουδαίων ἐκ τύχης τινὸς
γεγενημένῳ. οὗτος τοίνυν ὁ Ἀντίπατρος Ἀντίπας τὸ πρῶτον ἐκαλεῖτο καὶ τῷ πατρὶ 10
αὐτοῦ τοῦτο ἦν ὄνομα, ὃν Ἀλεξάνδρου τοῦ βασιλέως καὶ τῆς γυναικὸς αὐτοῦ
στρατηγὸν ἀποδειξάντων ὅλης τῆς Ἰδουμαίας ποιήσασθαι φιλίαν πρὸς τοὺς ὁμόρους
αὐτῶν Ἄραβας καὶ Γαζαίους καὶ Ἀσκαλωνίτας λέγουσι πολλαῖς αὐτοὺς καὶ μεγάλαις ἐξιδιω-
σάμενον δωρεαῖς. τήν τε οὖν Ἀριστοβούλου δυναστείαν ὁ νεώτερος Ἀντίπατρος ὑφορώ- 11
μενος καὶ δεδιώς, μή τι πάθῃ διὰ τὸ πρὸς αὐτὸν μῖσος, ἐπισυνιστᾷ κατ' αὐτοῦ κρύφα
διαλεγόμενος τῶν Ἰουδαίων τοὺς δυναστεύοντας, ἄδικον εἶναι λέγων περιορᾶν Ἀριστόβουλον
ἀδίκως ἔχοντα τὴν ἀρχὴν καὶ τὸν ἀδελφὸν ταύτης ἐκβεβληκότα πρεσβύτερον ὄντα. τού- 12
τους δὲ συνεχῶς καὶ πρὸς τὸν Ὑρκανὸν ἐποιεῖτο τοὺς λόγους, καὶ ὅτι κινδυνεύσει τοῦ ζῆν,
εἰ μὴ φυλάξοιτο ποιήσας αὐτὸν ἐκποδών· τοὺς γὰρ φίλους τοὺς Ἀριστοβούλου μηδένα
καιρὸν παραλείπειν ἔλεγε συμβουλεύοντας αὐτὸν ἀνελεῖν ὡς τότε βεβαίως ἕξοντα τὴν
ἀρχήν. τούτοις Ὑρκανὸς ἠπίστει τοῖς λόγοις φύσει χρηστὸς ὤν. ἐποίει δὲ αὐτὸν τὸ 13
ἄπραγμον καὶ τὸ παρειμένον τῆς διανοίας τοῖς ὁρῶσιν ἀγεννῆ καὶ ἄνανδρον δοκεῖν. τῆς
δὲ ἐναντίας φύσεως ἦν Ἀριστόβουλος, δραστήριος καὶ διεγηγερμένος τῷ φρονήματι. Ἀντί- 14
πατρος μέντοι οὐ διέλειπεν ἑκάστης ἡμέρας πλαττόμενος καὶ διαβάλλων πρὸς Ὑρκανὸν τὸν
Ἀριστόβουλον ὡς ἀποκτεῖναι θέλοντα, καὶ μόλις ἐγκείμενος πείθει πρὸς Ἀρέταν αὐτῷ συμ-
βουλεύσας φυγεῖν τὸν Ἀράβων βασιλέα· πεισθέντι γὰρ ἔσεσθαι καὶ αὐτὸς σύμμαχος ὑπι-
σχνεῖτο. καὶ δὴ πέμπει πρῶτον Ὑρκανὸς πρὸς τὸν Ἀράβων βασιλέα τὸν Ἀντίπατρον 15
ληψόμενον πίστεις, ὡς οὐκ ἐκδώσει τοῖς ἐχθροῖς ἱκέτην αὐτοῦ γενόμενον. λαβὼν δὲ τὰς 16
πίστεις Ἀντίπατρος ὑπέστρεψε πρὸς Ὑρκανὸν εἰς Ἱεροσόλυμα, καὶ μετ' οὐ πολὺ παραλαβὼν
αὐτὸν καὶ τῆς πόλεως ὑπεξελθὼν νύκτωρ καὶ πολλὴν ἀνύσας ὁδὸν ἧκεν ἄγων εἰς τὴν
καλουμένην Πέτραν, ὅπου τὰ βασίλεια ἦν τῷ Ἀρέτᾳ. παρεκάλει οὖν αὐτὸν Ὑρκανὸς ἐπαρῆξαί 17
οἱ ἀδικουμένῳ καὶ καταγαγεῖν αὐτὸν εἰς τὴν Ἰουδαίαν καὶ εἰς τὰ βασίλεια ἀποκαταστῆσαι,
ὑπισχνούμενος δώσειν αὐτῷ καταχθεὶς καὶ τὴν βασιλείαν κομισάμενος τήν τε χώραν καὶ 18
τὰς δώδεκα πόλεις, ἃς Ἀλέξανδρος ὁ πατὴρ αὐτοῦ τῶν Ἀράβων ἀφείλετο. τούτων αὐτῷ 19
τῶν ὑποσχέσεων γενομένων ὁ Ἀρέτας ἐστράτευσεν ἐπὶ τὸν Ἀριστόβουλον μετὰ πέντε
μυριάδων ἱπποτῶν ἅμα καὶ πεζῆς στρατιᾶς, καὶ νικᾷ τῇ μάχῃ. πολλῶν δὲ μετὰ τὴν
νίκην πρὸς Ὑρκανὸν αὐτομολησάντων μονωθεὶς ὁ Ἀριστόβουλος ἔφυγεν εἰς Ἱεροσόλυμα.
ὁ δὲ τῶν Ἀράβων βασιλεὺς πᾶσαν τὴν στρατιὰν ἀγαγὼν καὶ προσβαλὼν τῷ ἱερῷ τὸν 20

5 *ἀριστοβόλου* Busb. — 20 *φυλάξαιτο* cod. Laur. et Iosephus. — 20 *τοὺς Ἀρ.*] Laur. *τοῦ ἀρ.* Busb. — 21 *αὐτὸν*] Laur., om. Busb. — 28 et 39 *ἀρράβων* Busb.

Zonaras I p. 398 Bonn.

Ἀριστόβουλον ἐπολιόρκει προστιθεμένου καὶ τοῦ δήμου τῷ Ὑρκανῷ καὶ συμπολιορκοῦντος
21 αὐτῷ, μόνων δὲ τῶν ἱερέων τῷ Ἀριστοβούλῳ προσμενόντων. ὁ μὲν οὖν Ἀρέτας ἐξῆς
βαλόμενος στρατόπεδα τῶν Ἀράβων καὶ τῶν Ἰουδαίων ἰσχυρῶς ἐνέκειτο τῇ πολιορκίᾳ.
τούτων δὲ γενομένων κατὰ τὸν καιρὸν τῆς τῶν ἀζύμων ἑορτῆς, ἣν πάσχα λέγομεν, οἱ δοκι-
22 μώτατοι τῶν Ἰουδαίων ἐκλιπόντες τὴν χώραν εἰς Αἴγυπτον ἔφυγον. Ὀνίαν δέ τινα ὄνομα
δίκαιον ὄντα καὶ θεοφιλῆ, ὃς ἀνομβρίας ποτὲ οὔσης ηὔξατο τῷ θεῷ λῦσαι τὸν αὐχμὸν
καὶ γενόμενος ὁ θεὸς ἐπήκοος ὗσεν, ἔκρυψέ τε αὐτὸν διὰ τὸ τὴν στάσιν ὁρᾶν ἐπιμένουσαν,
ἀναχθέντα εἰς τὸ στρατόπεδον τῶν Ἰουδαίων ἠξίουν, ὡς ἔπαυσε τὴν ἀνομβρίαν εὐξάμενος,
23 ἵν' οὕτως ἀρὰς θῇ κατὰ Ἀριστοβούλου καὶ τῶν συστασιωτῶν αὐτοῦ. ἐπεὶ δὲ ἀντιλέγων
24 καὶ παραιτούμενος ἐβιάσθη ὑπὸ τοῦ πλήθους, στὰς μέσος αὐτῶν εἶπεν· „ὦ θεὲ βασιλεῦ
τῶν ὅλων, ἐπεὶ οἱ μετ' ἐμοῦ νῦν ἑστῶτες σὸς δῆμός ἐστι καὶ οἱ πολιορκούμενοι δὲ ἱερεῖς
σοί, δέομαι μήτε κατὰ τούτων ἐκείνοις ὑπακούσῃς μήτε κατ' ἐκείνων ἃ οὗτοι παρακαλοῦσιν
εἰς τέλος ἀγαγεῖν.“ καὶ τὸν μὲν ταῦτα εὐξάμενον περιστάντες οἱ πονηροὶ τῶν Ἰουδαίων
25 κατέλευσαν. ὁ δὲ θεὸς ταύτης αὐτοὺς παραχρῆμα ἐτιμωρήσατο τῆς ὠμότητος καὶ δίκην
εἰσεπράξατο τοῦ Ὀνίου φόνου τούτῳ τῷ τρόπῳ· πολιορκουμένων τῶν ἱερέων καὶ τοῦ Ἀριστο-
βούλου συνέβη τὴν ἑορτὴν ἐπιστῆναι τὴν λεγομένην φάσκα, καθ' ἣν ἔθος ἐστὶν ἡμῖν πολλὰ
26 θύειν τῷ θεῷ. ἀποροῦντες δὲ θυμάτων οἱ περὶ τὸν Ἀριστόβουλον ἠξίωσαν τοὺς ὁμοφύλους
παρασχεῖν χρήματα λαβόντας ἀντὶ τῶν θυμάτων ὅσα θέλουσι. τῶν δέ, εἰ βούλοιντο
λαβεῖν, χιλίας δραχμὰς ὑπὲρ ἑκάστης κεφαλῆς καταβαλεῖν κελευόντων, προθύμως ὅ τε
Ἀριστόβουλος καὶ οἱ ἱερεῖς ὑπέστησαν καὶ διὰ τῶν τειχέων καθιμήσαντες ἔδωκαν αὐτοῖς
27 τὰ χρήματα. κἀκεῖνοι λαβόντες οὐκ ἀπέδωκαν τὰ θύματα, ἀλλ' εἰς τοῦτο πονηρίας ἦλθον,
ὥστε παραβῆναι τὰς πίστεις καὶ ἀσεβῆσαι εἰς τὸν θεὸν τὰ πρὸς θυσίαν μὴ παρασχόντες
28 τοῖς δεομένοις. παρασπονδηθέντες δὲ οἱ ἱερεῖς ηὔξαντο τῷ θεῷ δίκην αὐτῶν εἰσπρᾶξαι
παρὰ τῶν ὁμοφύλων, ὁ δὲ οὐκ ἀνεβάλετο τὴν τιμωρίαν, ἀλλὰ πνεῦμα πολὺ καὶ βίαιον
ἐπιπέμψας τὸν καρπὸν ἁπάσης τῆς χώρας διέφθειρεν, ὥστε τὸν μόδιον τοῦ σίτου τότε
αὐτοῖς ἐξωνεῖσθαι δραχμῶν ἕνδεκα.
29 Ἐν τούτῳ πέμπει καὶ Σκαῦρον εἰς Συρίαν Πομπήιος αὐτὸς ὢν ἐν Ἀρμενίᾳ
καὶ πολεμῶν ἔτι Τιγράνῃ. ὁ δὲ ἀφικόμενος εἰς Δαμασκὸν Λόλλιον καὶ Μέτελλον
30 νεωστὶ τὴν πόλιν ᾑρηκότας εὑρὼν αὐτὸς εἰς Ἰουδαίαν ἠπείγετο. παραγενομένου
τὲ πρέσβεις ἧκον πρὸς αὐτὸν παρά τε Ἀριστοβούλου καὶ Ὑρκανοῦ συμμαχεῖν ἀξιούντων.
ὑπισχνουμένου τὲ Ἀριστοβούλου τετρακόσια δώσειν τάλαντα, τοῦ δὲ Ὑρκανοῦ τούτων
31 οὐκ ἐλάττονα παρέξειν, προσδέχεται τὴν Ἀριστοβούλου ὑπόσχεσιν· καὶ γὰρ εὔπορος χρημά-
των καὶ μεγαλόψυχος ἦν καὶ μετριωτέρων ἠξίου τυγχάνειν, ὁ δὲ καὶ πένης ἦν καὶ γλίσχρος
καὶ περὶ μειζόνων τὴν ἄπιστον προὔτεινεν ἐπαγγελίαν. οὐ γὰρ ἴσον ἦν βίᾳ πόλιν ἑλεῖν
ἐν τοῖς μάλιστα ὀχυρὰν καὶ δυνατήν, ἢ φυγάδας ἐκβαλεῖν μετὰ τοῦ Ναβαταίων πλήθους
32 οὐκ εὖ πρὸς πόλεμον διακειμένων. τούτῳ τοίνυν προσθέμενος διὰ τὰς προειρημένας αἰτίας
λαβὼν τὰ χρήματα λύει τὴν πολιορκίαν, κελεύσας ἀναχωρεῖν τὸν Ἀρέταν ἢ πολέμιον αὐτὸν
33 Ῥωμαίων ἀποδειχθήσεσθαι. καὶ Σκαῦρος μὲν εἰς Δαμασκὸν ἀνεχώρησεν, Ἀριστόβουλος
δὲ μετὰ πολλῆς δυνάμεως ἐπί τε Ἀρέταν καὶ Ὑρκανὸν ἐστράτευσε καὶ συμβαλὼν αὐτοῖς

3 ἀρράβων Busb. — 4 δὲ] δὲ τῶν Busb. — 12 παρακαλλοῦσιν Busb. — 16 λεγομένην] καλουμένην Laur. et Iosephus. — 18 λαβόντες Busb. — 31 ὑπισχνουμένων cod. Laur. — 31 ἀριστοβόλου Busb.



Zonaras I p. 399 Bonn.

περὶ τὸν καλούμενον Παπυρῶνα νικᾷ τῇ μάχῃ καὶ κτείνει περὶ ἑξακισχιλίους, μεθ' ὧν
ἔπεσε Κεφαλίων ὁ Ἀντιπάτρου ἀδελφός. μετ' οὐ πολὺ δὲ Πομπηΐου εἰς Δαμασκὸν ἀφι- 34
κομένου καὶ κοίλην Συρίαν ἐπιόντος ἧκον πρὸς αὐτὸν πρέσβεις ἐξ ὅλης Συρίας καὶ Αἰγύπτου
καὶ ἐκ τῆς Ἰουδαίας· ἔπεμψε γὰρ αὐτῷ μέγα δῶρον Ἀριστόβουλος ἄμπελον χρυσῆν ἐκ
πεντακοσίων ταλάντων. μέμνηται δὲ τοῦ δώρου καὶ Στράβων. τοῦτο μέντοι τὸ δῶρον 35 36
ἱστορήκαμεν καὶ ἡμεῖς ἀνακείμενον ἐν Ῥώμῃ τῷ ἱερῷ τοῦ Διὸς τοῦ Καπετωλίου ἐπιγραφὴν
ἔχον Ἀριστοβούλου τοῦ τῶν Ἰουδαίων βασιλέως. μετ' οὐ πολὺ δὲ ἧκον πάλιν πρὸς αὐτὸν 37
Ἀντίπατρος μὲν ὑπὲρ Ὑρκανοῦ, Νικόδημος δὲ ὑπὲρ Ἀριστοβούλου. κελεύσας δὲ ἐλθεῖν τοὺς 38
διαμφισβητοῦντας ἐνισταμένου τοῦ ἔαρος ἀναλαβὼν τὴν δύναμιν ὥρμησεν ἐπὶ τῆς Δαμα-
σκηνῆς. καὶ τήν τε ἄκραν ἐν παρόδῳ τὴν ἐν Ἀπαμείᾳ κατέσκαψεν, ἣν ὁ Κυζικηνὸς ἐτεί-
χισεν Ἀντίοχος, καὶ τὴν Πτολεμαίου τοῦ Μενναίου χώραν κατενόησεν ἀνδρὸς πονηροῦ καὶ 39
οὐδὲν ἔλαττον Διονυσίου τοῦ Τριπολίτου τοῦ πελεκισθέντος, ὅσπερ καὶ κηδεύων ἐτύγχανε,
χιλίοις μέντοι ταλάντοις ἐξωνησαμένου τὴν ὑπὲρ τῶν ἁμαρτημάτων τιμωρίαν, οἷς Πομ-
πήϊος τοὺς στρατιώτας ἐμισθοδότησεν. ἐξεῖλε δὲ καὶ Λυσιάδα χωρίον, οὗ τύραννος ἦν 40
Σίλας ὁ Ἰουδαῖος. διελθὼν δὲ καὶ πόλεις ἑτέρας εἰς Δαμασκὸν ἦλθεν. ἔνθα δὴ καὶ τῶν 41
Ἰουδαίων διήκουσε καὶ τῶν ἡγεμόνων αὐτῶν, οἳ πρὸς ἀλλήλους διεφέροντο ὅ τε Ὑρκανὸς
καὶ Ἀριστόβουλος καὶ τὸ ἔθνος πρὸς ἀμφοτέρους, τὸ μὲν οὐκ ἀξιοῦν βασιλεύεσθαι· πάτριον
γὰρ εἶναι τοῖς ἱερεῦσι τοῦ τιμωμένου παρ' αὐτοῖς θεοῦ πειθαρχεῖν, ὄντας δὲ τούτους
ἀπογόνους τῶν ἱερέων εἰς ἄλλην μετάγειν ἀρχὴν τὸ ἔθνος, ὅπως καὶ δοῦλον γένοιτο.
Ὑρκανὸς δὲ κατηγόρει, ὅτι πρεσβύτερος ὢν ἀφαιρεθείη τοῦ πρεσβείου ὑπὸ Ἀριστοβούλου 42
καὶ μικρὸν ἔχει μέρος τῆς χώρας ὑφ' αὑτῷ, τὴν δὲ ἄλλην βίᾳ λαβεῖν Ἀριστόβουλον· τάς τε 43
καταδρομὰς τὰς ἐπὶ τοὺς ὁμόρους καὶ τὰ πειρατήρια τὰ ἐν τῇ θαλάσσῃ τοῦτον εἶναι τὸν
συστήσαντα διέβαλλεν, οὐκ ἂν οὐδὲ ἀποστῆναι λέγων τὸ ἔθνος αὐτοῦ, εἰ μὴ βίαιός τε καὶ
ταραχώδης ὑπῆρχε. συνηγόρουν δὲ αὐτῷ ταῦτα λέγοντι πλείους ἢ χίλιοι τῶν δοκιμωτάτων
Ἰουδαίων Ἀντιπάτρου παρασκευάσαντος. ὁ δὲ τοῦ μὲν ἐκπεσεῖν αὐτὸν τῆς ἀρχῆς τὴν 44
ἐκείνου φύσιν ᾐτιᾶτο ἄπρακτον οὖσαν καὶ δια τοῦτο εὐκαταφρόνητον, αὐτὸν δὲ ἔλεγε
φόβῳ τοῦ μὴ πρὸς ἄλλους μεταστῆναι τὴν ἀρχὴν ἐξ ἀνάγκης αὐτὴν ὑπελθεῖν, προσα-
γορεύεσθαι δὲ αὐτὸν τοῦτο ὅπερ καὶ Ἀλέξανδρον τὸν πατέρα. καὶ δὴ μάρτυρας τούτων 45
ἐκάλει τοὺς νέους καὶ σοβαρωτέροος, ὧν ἐβδελύττοντο τὰς πορφυρίδας καὶ τὰς κόμας καὶ
τά φάλαρα καὶ τὸν ἄλλον κόσμον, ὃν ὥσπερ οὐ δίκην ὑφέξοντες, ἀλλ' ὡς εἰς πομπὴν
προϊόντες περιέκειντο. Πομπήϊος δὲ τούτων ἀκούσας καὶ καταγνοὺς Ἀριστοβούλου βίαν, 46
τότε μὲν αὐτοὺς ἀπέπεμψε διαλεχθεὶς πρᾳέως, ἐλθὼν δὲ εἰς τὴν χώραν αὐτῶν ἔλεγε
διατάξειν ἕκαστα, ἐπειδὰν τὰ τῶν Ναβαταίων πρῶτον ἴδῃ. τέως δὲ ἔδοξεν ἡσυχίαν ἄγειν
θεραπεύων ἅμα τὸν Ἀριστόβουλον, μὴ τὴν χώραν ἀποστήσῃ καὶ διακλεισθείη τῶν παρό-
δων. ἔτυχε μέντοι τοῦτο ἐξ Ἀριστοβούλου γενόμενον· οὐ γὰρ ἀναμείνας οὐδὲν ὧν διελέχθη 47
πρὸς αὐτὸν ὁ Πομπήϊος εἰς τὴν Ἰουδαίαν ἀπῆρεν. ὀργίζεται δὲ ἐπὶ τούτοις ὁ Πομπήϊος, 48
καὶ ἐστράτευσεν ἐπὶ τὸν Ἀριστόβουλον. οὗ ἐπὶ τὸ Ἀλεξάνδρειον συμπεφευγότος, ἔρυμα 49
δὲ τοῦτο περικαλλὲς ἐπ' ἄκρου τοῦ ὄρους ἱδρυμένον, πέμψας ἐκέλευσεν ἥκειν πρὸς αὐτόν.

2 Κεφαλίων] καὶ Φαλλίων Iosephus. — 8 ἐλθεῖν] ἥκειν Iosephus. — 14 ἐμισθοδότησε man. 1 Busb. — 15 ἦθεν] ἧκεν Iosephus. — 17 βασιλεύσασθαι man. 1 Busb. — 20 ἀφαιρεθῇ Laur. — 23 διέβαλλεν Busb. — 33 ἔδοξεν] ἐκέλευσεν Iosephus. — 35 ἀριστοβόλου Busb.

Zonaras I p. 401 Bonn.

50 ὁ δὲ παραινούντων πολλῶν μὴ πολεμεῖν Ῥωμαίοις κάτεισι καὶ δικαιολογησάμενος πρὸς τὸν
ἀδελφὸν περὶ τῆς ἀρχῆς πάλιν εἰς τὴν ἀκρόπολιν ἀναβαίνει συγχωρήσαντος Πομπηΐου.
51 52 καὶ τοῦτο δὶς καὶ τρίς ἐποίησε. κελεύοντος δὲ Πομπηΐου παραδιδόναι τὰ ἐρύματα καὶ τοῖς
φρουράρχοις ἐπιστέλλειν τῇ ἑαυτοῦ χειρί, παραδέχεσθαι δὲ ἄλλως ἀπείρητο, πείθεται μέν,
δυσανασχετῶν δὲ ἀνεχώρησεν εἰς Ἱεροσόλυμα καὶ ἐν παρασκευῇ τοῦ πολεμεῖν ἐγίνετο.
53 καὶ μετ' οὐ πολὺ Πομπηΐῳ στρατιὰν ἐπ' αὐτὸν ἄγοντι καθ' ὁδὸν Μιθριδάτου τελευτὴ
ἐμηνύετο ἡ ἐκ Φαρνάκου τοῦ παιδὸς αὐτοῦ γεγενημένη.
54 Στρατοπεδευσάμενος δὲ περὶ Ἱεριχοῦντα, οὗ τὸν φοίνικα τρέφεσθαι συμβέβηκε καὶ
τὸ ὀποβάλσαμον μύρων ἀκρότατον, ὃ τῶν θάμνων τεμνομένων ὀξεῖ λίθῳ ἀναπιδύει ὥσπερ
55 ὀπός, ἕωθεν ἐπὶ Ἱεροσόλυμα ἐχώρει. καὶ μετανοήσας Ἀριστόβουλος ἀφικνεῖται πρὸς Πομ-
πήϊον, καὶ χρήματα διδοὺς καὶ τοῖς Ἱεροσολύμοις αὐτὸν εἰσδεχόμενος παρεκάλει παύσασθαι
τοῦ πολέμου καὶ πράττειν μετ' εἰρήνης ὅ τι βούλεται. συγγνοὺς οὖν αὐτῷ Πομπήϊος δεο-
56 μένῳ πέμπει Γαβήνιον καὶ στρατιώτην ἐπί τε τὰ χρήματα καὶ τὴν πόλιν. οὐ μὴν ἐπράχθη
τί τούτων, ἀλλ' ἐπανῆλθεν ὁ Γαβήνιος μήτε τὰ χρήματα λαβὼν καὶ τῆς πόλεως ἀπο-
57 κλεισθεὶς τῶν Ἀριστοβούλου στρατιωτῶν γενέσθαι τὰ συγκείμενα οὐκ ἐπιτρεψάντων. ὀργὴ
δ' ἐπὶ τούτοις λαμβάνει Πομπήϊον καὶ ἐν φυλακῇ καταστήσας τὸν Ἀριστόβουλον αὐτὸς
ἔρχεται ἐπὶ τὴν πόλιν. ἡ πόλις δὲ τὰ μὲν ἄλλα πάντα ἦν ὀχυρά, μόνῳ δὲ τῷ βορείῳ
μέρει φαύλως εἶχε· φάραγξ γὰρ αὐτὴν εὐρεῖα περιέρχεται καὶ βαθεῖα ἐντὸς ἀπολαμβάνουσα
58 τὸ ἱερὸν λιθίνῳ καρτερῶς πάνυ περιβόλῳ τετειχισμένον. ἦν δὲ τῶν ἀνθρώπων στάσις
ἔνδον οὐχ ὁμονοούντων· τοῖς μὲν γὰρ παραδιδόναι Πομπηΐῳ τὴν πόλιν ἐδόκει, οἱ δὲ τὰ
Ἀριστοβούλου φρονοῦντες ἀποκλείειν καὶ πολεμεῖν παρῄνουν κἀκεῖνον ἔχεσθαι δεδεμένον.
φθάσαντες δὲ οὗτοι τὸ ἱερὸν καταλαμβάνουσι καὶ τὴν τείνουσαν ἀπ' αὐτοῦ γέφυραν εἰς τὴν
59 πόλιν εἰς πολιορκίαν ηὐτρέπιζον. οἱ δὲ ἕτεροι δεξάμενοι τὴν στρατιὰν ἐνεχείρισαν Πομπηΐῳ
τὴν πόλιν καὶ τὰ βασίλεια. Πομπήϊος δὲ Πείσωνα πέμψας τὸν ὑποστράτηγον σὺν στρατιᾷ
60 τήν τε πόλιν καὶ τὰ βασίλεια ἐφρούρει. καὶ τὸ μὲν πρῶτον λόγους συμβατηρίους τοῖς ἐν
τῷ ἱερῷ προσέφερεν, οὐκ ἀκουόντων δὲ εἰς ἃ προεκαλεῖτο τὰ πέριξ ἐτείχιζε χωρία πρὸς
ἅπαντα Ὑρκανοῦ προθύμως ὑπηρετοῦντος. Πομπήϊος δὲ ἔσωθεν στρατοπεδεύεται κατὰ
61 τὸ βόρειον τοῦ ἱεροῦ μέρος, ὅθεν ἦν ἐπίμαχον. ἀνεστήκεσαν δὲ καὶ ἐνταῦθα πύργοι
μεγάλοι καὶ τάφρος δὲ ὤρυκτο καὶ βαθείᾳ περιέκειτο φάραγγι· ἀπερρώγει δὲ καὶ πρὸς τὴν
πόλιν τῆς γεφύρας ἀνατετραμμένης καὶ τὸ χῶμα ὁσημέραι ταλαιπωρουμένοις ἐγήγερτο
62 τεμνόντων τὴν πέριξ ὕλην Ῥωμαίων. καὶ ἐπειδὴ τοῦτο εἶχεν ἱκανῶς μόλις πλησθείσης
τῆς τάφρου διὰ βάθος ἄπειρον μηχανὰς ἐπιστήσας κατήρασσε τὸ ἱερὸν τοῖς πετροβόλοις.
63 εἰ δὲ μὴ πάτριον ἦν ἡμῖν ἀργεῖν τὰς ἑβδόμας ἡμέρας, οὐκ ἂν ἠνύσθη τὸ χῶμα κωλυόντων
ἐκείνων· ἄρχοντας μὲν γὰρ μάχης καὶ τύπτοντας ἀμύνασθαι δίδωσιν ὁ νόμος, ἄλλο δέ τι
64 δρῶντας τοὺς πολεμίους οὐκ ἐᾷ. ὃ δὴ καὶ Ῥωμαῖοι συνιδόντες κατ' ἐκείνας τὰς ἡμέρας,
ἃς δὴ σάββατα καλοῦμεν, οὔτε ἔβαλλον τοὺς Ἰουδαίους οὔτε εἰς χεῖρας αὐτοῖς ὑπήντων,
χοῦν δὲ καὶ πύργους ἀνίστασαν καὶ τὰ μηχανήματα προσῆγον, ὥστε αὐτοῖς εἰς τὴν
66 ἐπιοῦσαν ἐνεργὰ ταῦτα εἶναι. ἁλούσης γὰρ τῆς πόλεως περὶ τὸν τρίτον μῆνα οἱ πολέμιοι

8 i marg. ζ' Busb. — 12 *Πομπήϊος ... Γαβήνιον κα* in ras. Busb. — 21 *κἀκεῖνον*] *τῷ κἀκεῖνον* Iosephus. — 32 *βάθος ἄπειρον*, litt. *ος ἄ* i. ras. Busb.



Zonaras I p. 402 Bonn.

μὲν ἐπιπεσόντες ἔσφαττον τοὺς ἐν τῷ ἱερῷ, οἱ δὲ πρὸς ταῖς θυσίαις οὐδὲν ἧττον ἱερουρ- 67
γοῦντες διετέλουν, πᾶν ὅ τι δέοι παθεῖν τοῦτο παρ' αὐτοῖς ὑπομεῖναι τοῖς βωμοῖς κρεῖττον
εἶναι νομίζοντες ἢ παρελθεῖν τί τῶν νομίμων. φόνου δὲ ἦν πάντα ἀνάπλεα τοῦ 70
μεγίστου τῶν πύργων κατασεισθέντος καὶ τῶν Ῥωμαίων εἰσπεσόντων ἐντός· τῶν γὰρ
Ἰουδαίων οἱ μὲν ὑπὸ Ῥωμαίων, οἱ δὲ ὑπ' ἀλλήλων ἀνῃροῦντο, εἰσὶ δὲ οἳ καὶ κατὰ κρημνῶν
ἑαυτοὺς ἐρρίπτουν καὶ πῦρ ἐνιέντες εἰς τὰς οἰκίας ἐνεπίμπραντο τὰ γινόμενα καρτερεῖν
οὐχ ὑπομένοντες. ἔπεσον δὲ τῶν Ἰουδαίων εἰς μυρίους καὶ δισχιλίους, Ῥωμαίων δὲ πάνυ 71
ὀλίγοι. παρηνομήθη δὲ οὐ μικρὰ περὶ τὸν ναὸν ἄβατόν τε ὄντα ἐν τῷ πρὶν χρόνῳ καὶ
ἀόρατον· παρῆλθεν γὰρ εἰς τὸ ἐντὸς ὁ Πομπήϊος καὶ τῶν περὶ αὐτὸν οὐκ ὀλίγοι καὶ εἶδον 72
ὅσα μὴ θεμιτὸν ἦν τοῖς ἄλλοις ἢ μόνοις τοῖς ἀρχιερεῦσιν. ὄντων τε τραπέζης χρυσῆς καὶ
λυχνίας ἱερᾶς καὶ σπονδείων καὶ πλήθους ἀργυρωμάτων, χωρὶς δὲ τούτων ἐν τοῖς θησαυροῖς
ἱερῶν χρημάτων εἰς δύο χιλιάδας ταλάντων, οὐδενὸς ἥψατο δι' εὐσέβειαν. τῇ τε ὑστεραίᾳ 73
καθαίρειν παραγγείλας τὸ ἱερὸν καὶ τὰ νόμιμα ἐπιφέρειν τῷ θεῷ τὴν ἀρχιερωσύνην ἀπέ-
δωκεν Ὑρκανῷ καὶ τοὺς αἰτίους τοῦ πολέμου τῷ πελέκει διεχρήσατο. καὶ τὰ μὲν Ἱεροσό- 74
λυμα ὑποτελῆ φόρου Ῥωμαίοις ἐποίησε, τὸ ἔθνος δὲ ἐπὶ μέγα πρότερον αἰρόμενον ἐντὸς
τῶν ἰδίων ὅρων συνέστειλε. τούτου τοῦ πάθους τῶν Ἱεροσολύμων αἴτιοι κατέστησαν 77
Ὑρκανὸς καὶ Ἀριστόβουλος πρὸς ἀλλήλους στασιάσαντες· τήν τε γὰρ ἐλευθερίαν ἀπεβάλο-
μεν καὶ ὑπήκοοι Ῥωμαίοις κατέστημεν καὶ τὴν χώραν, ἣν τοῖς ὅπλοις ἐκτησάμεθα τοὺς
Σύρους ἀφελόμενοι, ταύτην ἠναγκάσθημεν ἀποδοῦναι τοῖς Σύροις, καὶ προσέτι πλείω ἢ 78
μύρια τάλαντα Ῥωμαῖοι ἐν βραχεῖ χρόνῳ παρ' ἡμῶν εἰσεπράξαντο, καὶ ἡ βασιλεία πρό-
τερον τοῖς κατὰ γένος ἀρχιερεῦσι διδομένη, τιμὴ δημοτικῶν ἀνδρῶν ἐγένετο. Πομπήϊος δὲ 79
ἐπὶ Κιλικίαν ᾤχετο ἐπειγόμενος εἰς Ῥώμην. ἐπήγετο δὲ μετὰ τῆς γενεᾶς καὶ Ἀριστόβουλον
δεδεμένον· δύο γὰρ ἦσαν αὐτῷ θυγατέρες καὶ τοσοῦτοι υἱοί, ὧν Ἀλέξανδρος μὲν ἀπέδρα,
ὁ δὲ νεώτερος Ἀντίγονος συναπεκομίζετο εἰς Ῥώμην ἅμα ταῖς ἀδελφαῖς.
Χρόνῳ δὲ ὕστερον Ἀλεξάνδρου τὴν Ἰουδαίαν κατατρέχοντος τοῦ Ἀριστοβούλου παιδὸς 82
Γαβήνιος ἐκ Ῥώμης εἰς Συρίαν ἧκεν, ὃς ἄλλά τε λόγου ἄξια διεπράξατο καὶ ἐπ' Ἀλέξαν-
δρον ἐστράτευσε, μηκέτι Ὑρκανοῦ πρὸς τὴν ἐκείνου ῥώμην ἀντέχειν δυναμένου, ἀλλ'
ἀνεγείρειν ἤδη καὶ τὸ τῶν Ἱεροσολύμων τεῖχος ἐπιχειροῦντος, ὃ περιεῖλε Πομπήϊος. ἀλλὰ 83
τούτου μὲν αὐτὸν ἐπέσχον οἱ ἐνταῦθα Ῥωμαῖοι. ἔρχεται δ' οὖν ἐπ' αὐτὸν Γαβήνιος 84
Μάρκον Ἀντώνιον πέμψας σὺν ἄλλοις ἡγεμόσιν· οἱ δὲ ὑπήντων Ἀλεξάνδρῳ· ἠκολούθει δὲ
καὶ Γαβήνιος σὺν τῇ φάλαγγι. καὶ ἀναχωρεῖ μὲν ἐγγὺς Ἱεροσολύμων Ἀλέξανδρος, συμπε- 85
σόντων δὲ ἀλλήλοις ἐκεῖ καὶ μάχης γενομένης κτείνουσιν οἱ Ῥωμαῖοι τῶν πολεμίων περὶ
τρισχιλίους, ζωγροῦσι δὲ οὐκ ἐλάττους. Γαβήνιος μὲν οὖν μέρος τῆς στρατιᾶς ἐπὶ τὸ 87
Ἀλεξάνδρειον καταλιπών, ἕως ἂν ἐκπολιορκηθῇ τὸ χωρίον, αὐτὸς ἐπῄει τὴν ἄλλην Ἰου-
δαίαν, καὶ τὰς καθῃρημένας τῶν πόλεων κτίζειν παρεκελεύετο. τῶν δὲ ἀνθρώπων πειθο- 88
μένων οἷς ὁ Γαβήνιος παρεκελεύετο βεβαίως οἰκηθῆναι συνέβαινε τὰς πόλεις πολὺν χρόνον
ἐρήμους γενομένας. ταῦτα δὲ διαπραξάμενος κατὰ τὴν χώραν ἐπάνεισιν ἐπὶ τὸ Ἀλεξάν- 89
δρειον, καὶ τὴν πολιορκίαν αὐτοῦ κρατύναντος διαπρεσβεύεται πρὸς αὐτὸν Ἀλέξανδρος
συγγινώσκειν αὐτῷ τῶν ἡμαρτημένων δεόμενος, παραδοὺς τῶν ἐρυμάτων Ὑρκανίαν τε καὶ

9 *παρῆλθε* ex corr. Busb.

Zonaras I p. 403 Bonn.

90 Μαχαιροῦντα, ὕστερον δὲ καὶ Ἀλεξάνδρειον. καὶ ταῦτα μὲν Γαβήνιος κατέσκαψε. τῆς δὲ
Ἀλεξάνδρου μητρὸς πρὸς αὐτὸν ἐλθούσης, ἣ ἐφρόνει τὰ Ῥωμαίων τοῦ τε ἀνδρὸς αὐτῆς καὶ
τῶν ἄλλων τέκνων ἐν Ῥώμῃ ἀπηγμένων, συνεχώρησεν αὐτῇ ταῦτα ἅπερ ἠξίου, καὶ διοι-
κησάμενος τὰ πρὸς αὐτὴν Ὑρκανὸν κατήγαγεν εἰς Ἱεροσόλυμα σχήσοντα τὴν τοῦ ἱεροῦ
91 ἐπιμέλειαν. πέντε δὲ συνέδρια καταστήσας εἰς ἴσας μοίρας διένειμε τὸ ἔθνος, καὶ ἐπολι-
τεύοντο οἱ μὲν ἐν Ἱεροσολύμοις οἱ δὲ ἐν Γαδάροις οἱ δὲ ἐν Ἀμαθοῦντι, τέταρτοι δὲ ἦσαν
ἐν Ἱεριχοῦντι καὶ τὸ πέμπτον ἐν Σαπφύροις τῆς Γαλιλαίας. καὶ οἱ μὲν ἀπηλλαγμένοι
92 δυναστείας ἐν ἀριστοκρατίαις ἦσαν. Ἀριστοβούλου δὲ διαδράντος ἐκ Ῥώμης εἰς τὴν Ἰου-
δαίαν καὶ τὸ Ἀλεξάνδρειον, ὅπερ ἦν νεωστὶ κατεσκαμμένον, ἀνατειχίζειν προαιρουμένου,
πέμπει Γαβήνιος ἐπ᾽ αὐτὸν στρατιώτας καὶ ἡγεμόνας κωλύσοντάς τε τὸ χωρίον αὐτὸν
93 κατασχεῖν καὶ συλληψομένους αὐτόν. πολλοὶ δὲ Ἀριστοβούλῳ τῶν Ἰουδαίων προσέρρεον·
Πειθόλαος γοῦν τις ὑποστράτηγος ἐν Ἱεροσολύμοις μετὰ χιλίων ηὐτομόλησε πρὸς αὐτόν.
94 οἱ δὲ πολλοὶ τῶν προστιθεμένων ἦσαν ἄνοπλοι. διεγνώκει δὲ εἰς Μαχαιροῦντα ἀπανί-
στασθαι Ἀριστόβουλος. τούτους μὲν οὖν ἀπέλυσεν ἀνόπλους ὄντας, οἳ ἐγένοντο αὐτῷ
95 χρήσιμοι εἰς τὰ ἔργα· τοὺς δὲ ὡπλισμένους περὶ ὀκτακισχιλίους ὄντας ἀναλαβὼν ᾤχετο. καὶ
προσπεσόντων αὐτοῖς τῶν Ῥωμαίων καρτερῶς ἡττῶνται τῇ μάχῃ Ἰουδαῖοι καὶ βιασαμένων τῶν
πολεμίων εἰς φυγὴν τρέπονται. καὶ οἱ μὲν ἐφονεύθησαν, οἱ δὲ διασκεδασθέντες σώζειν ἑαυτοὺς
96 ἐπειρῶντο. χιλίων μέντοι πλείονας ἔχων Ἀριστόβουλος εἰς Μαχαιροῦντα διέφυγεν ὠχύρου
τὲ τὸ χωρίον καὶ πράττων κακῶς οὐδὲν ἧττον ἐλπίδος ἀγαθῆς εἴχετο. δύο δὲ ἡμέρας
ἀντισχὼν τῇ πολιορκίᾳ καὶ πολλὰ τραύματα λαβὼν αἰχμάλωτος μετ᾽ Ἀντιγόνου τοῦ παιδός,
97 ὃς καὶ συνέφυγεν ἐκ Ῥώμης αὐτῷ, πρὸς Γαβήνιον ἄγεται. καὶ πάλιν εἰς Ῥώμην ἀναπέμ-
πεται καὶ δεθεὶς αὐτόθι κατείχετο, βασιλεύσας μὲν καὶ ἀρχιερατεύσας ἔτη τρία καὶ μῆνας
ἕξ, ἀνὴρ δὲ λαμπρὸς καὶ μεγαλόψυχος γενόμενος. τὰ μέντοι τέκνα αὐτοῦ ἀνῆκεν ἡ σύγ-
κλητος Γαβηνίου γράψαντος τοῦτο ὑποσχέσθαι τῇ μητρὶ παραδούσῃ τὰ ἐρύματα. καὶ
98 ταῦτα μὲν εἰς τὴν Ἰουδαίαν ἐπανέρχεται. Γαβήνιος δὲ εἰς Αἴγυπτον ἀπῄει καταστή-
99 σων Πτολεμαῖον εἰς ταύτην. τῷ Γαβηνίῳ μέντοι κατὰ τὴν στρατείαν ἣν ἐφ᾽ Ὑρκανὸν
ἐστείλατο Ἀντίπατρος ὑπηρέτησε σῖτον καὶ ὅπλα καὶ χρήματα, καὶ τοὺς ὑπὲρ Πηλούσιον
τῶν Ἰουδαίων οὗτος αὐτῷ προσηγάγετο καὶ συμμάχους ἐποίησε φύλακας ὄντας τῶν εἰς
100 Αἴγυπτον ἐμβολῶν. ἐπανελθὼν δ᾽ ἐκ τῆς Αἰγύπτου καταλαμβάνει τὴν Συρίαν στάσει καὶ
ταραχῇ νοσοῦσαν· ὁ γὰρ Ἀριστοβούλου παῖς Ἀλέξανδρος παρελθὼν πάλιν ἐπὶ τὴν ἀρχὴν
κατὰ βίαν πολλοὺς μὲν τῶν Ἰουδαίων ἀπέστησε, στρατεύματι δὲ μεγάλῳ τὴν χώραν ἐπερ-
χόμενος ἔκτεινε πάντας ὅσους ἐπιτύχοι τῶν Ῥωμαίων καὶ εἰς τὸ ὄρος τὸ καλούμενον
101 Γαριζὶν συμφυγόντας προσέκειτο πολιορκῶν. ὁ δὲ Γαβήνιος Ἀντίπατρον, συνετὸς γὰρ ἦν,
προπέμπει πρὸς τοὺς νενοσηκότας, εἰ πεῖσαι δυνηθείη πρὸς τὸν ἀμείνω λογισμὸν ἐπανελθεῖν.
102 ὁ δὲ ἐλθὼν πολλοὺς μὲν ἐσωφρόνισε καὶ προσηγάγετο τῷ δέοντι, τὸν δὲ Ἀλέξανδρον οὐκ
ἠδυνήθη κατασχεῖν· στρατοῦ δὲ οὗτος ἔχων μυριάδας τρεῖς Ἰουδαίων ἀπήντησε Γαβηνίῳ
103 καὶ συμβαλὼν ἡττᾶται πεσόντων αὐτῷ μυρίων περὶ τὸ Ἰταβύριον ὄρος. καταστησάμενος
δὲ Γαβήνιος τὰ κατὰ τὴν Ἱεροσολυμιτῶν πόλιν, ὡς ἦν Ἀντιπάτρῳ θέλοντι, ἐπὶ Ναβαταίους

7 *Σαπφώροις* Iosephus. — 8 *ἦσαν*] *διῆγον* Iosephus. — 9 *νεωστὶ*, litt. *νεω* in ras. Busb. — 10 *καὶ ἡγεμόνας* — 11 *κατασχεῖν* in marg. suppl. Busb — 15 *ὁπλισμένουσ* man. 1 Busb.



Zonaras I p. 403 Bonn.

ἔρχεται, καὶ κρατεῖ μὲν τούτων τῇ μάχῃ, Πάρθων δὲ φυγάδας ἐλθόντας Μιθριδάτην καὶ
Ὀρσάνην προὔπεμψε. καὶ Γαβήνιος μὲν ἔργα μεγάλα κατὰ τὴν στρατηγίαν δράσας ἀπῆρεν 104
εἰς Ῥώμην Κράσῳ παραδοὺς τὴν ἀρχήν, ὃς ἐπὶ Πάρθους μέλλων στρατεύειν ἦλθεν εἰς τὴν 105
Ἰουδαίαν καὶ τὰ ἐν τῷ ἱερῷ χρήματα, ἃ ὁ Πομπήϊος καταλελοίπει, δισχίλια δὲ ἦν τάλαντα,
βαστάσας οἷός τε ἦν καὶ τὸν χρυσὸν ἅπαντα, τάλαντα δὲ οὗτος ἦν ὀκτακισχίλια, περιδύειν
τὸν ναόν. λαμβάνει δὲ καὶ δοκὸν ὁλοσφύρητον χρυσῆν ἐκ μνῶν τριακοσίων πεποιημένην· 106
ἡ δὲ μνᾶ παρ᾽ ἡμῖν ἰσχύει λίτρας δύο καὶ ἥμισυ. παρέδωκε δὲ αὐτῷ ταύτην τὴν δοκὸν
ὁ τῶν χρημάτων φύλαξ ἱερεὺς Ἐλεάζαρος τοὔνομα, οὐ διὰ πονηρίαν, ἀγαθὸς γὰρ ἦν καὶ
δίκαιος, ἀλλὰ πεπιστευμένος τὴν τῶν καταπετασμάτων τοῦ ναοῦ φυλακὴν ὄντων θαυμα- 107
σίων τὸ κάλλος καὶ πολυτελῶν τὴν κατασκευὴν ἐκ δὲ τῆς [δοκοῦ ταύτης] ἐκκρεμαμένων,
ἐπεὶ τὸν Κράσον ἑώρα περὶ τὴν τοῦ χρυσοῦ γινόμενον συλλογήν, δείσας περὶ τῷ παντὶ
κόσμῳ τοῦ ναοῦ τὴν δοκὸν αὐτῷ τὴν χρυσῆν λύτρον ἀντὶ πάντων ἔδωκεν, ὅρκους παρ᾽ 108
αὐτοῦ λαβὼν μηδὲν ἄλλο κινήσειν τῶν ἐν τῷ ναῷ, μόνῳ δὲ ἀρκεσθήσεσθαι τῷ ὑπ᾽ αὐτοῦ
δοθησομένῳ πολλῶν ὄντι μυριάδων ἀξίῳ. ἡ δὲ δοκὸς αὕτη ἦν ἐν ξυλίνῃ δοκῷ κενῇ, καὶ
τοῦτο τοὺς μὲν ἄλλους ἔλαθεν ἅπαντας, ὁ δὲ Ἐλεάζαρος μόνος ἠπίστατο. ὁ μέντοι Κράσος 109
καὶ ταύτην ὡς οὐδενὸς ἁψόμενος ἄλλου τῶν ἐν τῷ ἱερῷ λαμβάνει, καὶ παραβὰς τοὺς ὅρκους
ἅπαντα τὸν ἐν τῷ ναῷ χρυσὸν ἐξεφόρησε καὶ ἐπὶ τὴν Παρθυέων ἐξώρμησε. καὶ αὐτὸς 119
μὲν σὺν παντὶ ἐφθάρη τῷ στρατῷ, Κάσσιος δὲ εἰς Συρίαν φυγὼν καὶ περιποιησάμενος
αὐτὴν Πάρθοις ἐμποδὼν ἦν ἐκτρέχουσιν ἐπ᾽ αὐτὴν διὰ τὴν Κράσου νίκην. αὖθις δὲ εἰς 120
Τύρον ἀφικόμενος ἀνέβη καὶ εἰς τὴν Ἰουδαίαν. καὶ Πειθόλαον τὸν τὴν Ἀριστοβούλου
στάσιν διαδεδεγμένον κτείνει πρὸς τοῦτο αὐτὸν Ἀντιπάτρου παραστησαμένου, ᾧ πολὺ καὶ 121
παρ᾽ αὐτῷ συνέβαινε δύνασθαι καὶ παρὰ Ἰδουμαίοις, παρ᾽ ὧν ἄγεται γυναῖκα τῶν ἐπισήμων
ἐξ Ἀραβίας Κύπρον ὄνομα, ἐξ ἧς αὐτῷ τέσσαρες ἐγένοντο παῖδες, Φασάηλος καὶ Ἡρώδης, ὃς
καὶ ὕστερον βασιλεὺς γίνεται, Ἰώσηπός τε καὶ Φερώρας, θυγάτηρ τὲ Σαλώμη. οὗτος ὁ 122
Ἀντίπατρος ἐπεποίητο καὶ πρὸς τοὺς ἄλλους δυνάστας φιλίαν καὶ ξενίαν, μάλιστα δὲ
πρὸς τὸν Ἄραβα, ᾧ καὶ τὰ τέκνα πολεμῶν πρὸς Ἀριστόβουλον παρέθετο. Κάσσιος
μὲν οὖν ἀναστρατοπεδευσάμενος ἐπὶ τὸν Εὐφράτην ἠπείγετο ὑπαντιάσων τοῖς
ἐκεῖθεν ἐπιοῦσι. χρόνῳ δὲ ὕστερον Καῖσαρ κατασχὼν Ῥώμην μετὰ τὸ Πομπήϊον 123
καὶ τὴν σύγκλητον φυγεῖν πέραν τοῦ Ἰονίου, παραλύσας τῶν δεσμῶν Ἀριστόβουλον
εἰς Συρίαν πέμπειν διεγνώκει δύο παραδοὺς αὐτῷ τάγματα, ὡς ἂν εὐτρεπίζῃ τὰ κατ᾽ αὐτὴν
δυνατὸς ὤν. Ἀριστόβουλος δὲ οὐκ ὤνατο τῶν ἐλπίδων, ἐφ᾽ αἷς ἔτυχε τῆς παρὰ Καίσαρος 124
ἐξουσίας, ἀλλ᾽ αὐτὸν φθάσαντες οἱ τὰ Πομπηΐου φρονοῦντες φαρμάκῳ διαφθείρουσι,
θάπτουσι δὲ αὐτὸν οἱ τὰ Καίσαρος θεραπεύοντες πράγματα. ὕστερον δὲ τὸν αὐτοῦ νεκρὸν
Ἀντώνιος ἀποπέμψας εἰς Ἰουδαίους ἐν ταῖς βασιλικαῖς θήκαις ἐποίησε τεθῆναι. Σκηπίων 125
δὲ ἐπιστείλαντος αὐτῷ Πομπηΐου Ἀλέξανδρον τὸν Ἀριστοβούλου πελέκει διεχρήσατο. καὶ
ὁ μὲν οὕτως ἐν Ἀντιοχείᾳ τελευτᾷ. τοὺς δὲ ἀδελφοὺς αὐτοῦ Πτολεμαῖος ὁ Μενναίου 126
δυναστεύων Χαλκίδος τῆς ἐν τῷ Λιβάνῳ ὄρει, πέμψας τὸν υἱὸν Φιλιππίωνα εἰς Ἀσκάλωνα

3 *Κράσσῳ* Iosephus hic et infra. — 3 i. marg. *κβ'* Busb. — *ἦλθεν*] *ἧκεν* Iosephus. — 10 *δοκοῦ ταύτης* om. Busb., additum ex Iosepho. — 13 *τῶν* ex *τὸν* corr. cod. Busb. — 16 *ἁψάμενος* ex *ἁψόμενος* corr. Busb. — 19 *Κράσου*] *κατὰ Κράσσου* Iosephus. — 25 *ἄλλας* man. 1 Busb. — 29 *ἰωνίου* man. 1 Busb. — 36 *οὕτως*] *οὗτος* man. 1 Busb.

Zonaras I p. 404 Bonn.

παρὰ τὴν Ἀριστοβούλου γυναῖκα ἐκέλευσεν αὐτῇ πρὸς αὐτὸν ἀποστέλλειν Ἀντίγονον
δηλαδὴ καὶ τὰς θυγατέρας, ὧν τὴν ἑτέραν Ἀλέξανδρος ὁ Φιλιππίων ἄγεται γυναῖκα. μετὰ
δὲ ταῦτα ἀνελὼν αὐτὸν ὁ πατὴρ Πτολεμαῖος γαμεῖται τὴν Ἀλεξάνδραν καὶ τῶν ἀδελφῶν
αὐτῆς πρόνοιαν ποιούμενος διετέλει.

127 Μετὰ δὲ τὸν Πομπηΐου θάνατον καὶ τὴν νίκην τὴν ἐπ' αὐτῷ Καίσαρι πολεμοῦντι
κατ' Αἴγυπτον πολλὰ χρήσιμον αὐτὸν παρέσχεν Ἀντίπατρος ὁ τῶν Ἰουδαίων ἐπιμελητὴς
128 ἐξ ἐντολῆς Ὑρκανοῦ. τῷ Μιθριδάτῃ τὲ τῷ Περγαμηνῷ κομίζοντι ἐπικουρικὸν καὶ ἀδυνάτως
ἔχοντι διὰ Πηλουσίου ποιήσασθαι τὴν πορείαν, περὶ δὲ Ἀσκάλωνα διατρίβοντι, ἧκεν
Ἀντίπατρος ἄγων Ἰουδαίων ὁπλίτας τρισχιλίους ἐξ Ἀραβίας τὲ συμμάχους ἐλθεῖν ἐπραγ-
129 130 ματεύσατο· καὶ δι' αὐτὸν οἱ κατὰ τὴν Συρίαν ἅπαντες ἐπεκούρουν. Μιθριδάτης ἄρας ἐκ
Συρίας εἰς Πηλούσιον ἀφικνεῖται καὶ μὴ δεχομένων αὐτὸν ἐπολιόρκει τὴν πόλιν. ἠρίστευσε
δὲ Ἀντίπατρος καὶ πρῶτος κατασύρας τί τοῦ τείχους ὁδὸν εἰσπεσεῖν παρέσχετο τοῖς ἄλλοις
131 εἰς τὴν πόλιν. καὶ τὸ μὲν Πηλούσιον οὕτως εἶχε. τοὺς δὲ περὶ Ἀντίπατρον καὶ Μιθρι-
δάτην ἀπιόντας πρὸς Καίσαρα διεκώλυον οἱ Ἰουδαῖοι Αἰγύπτιοι τὴν Ὀνίου λεγομένην χώραν
κατοικοῦντες. πείθει δὲ καὶ τούτους τὰ αὐτῶν φρονῆσαι Ἀντίπατρος καὶ μάλιστα ἐπιδείξας
αὐτοῖς τὰς Ὑρκανοῦ τοῦ ἀρχιερέως ἐπιστολάς, ἐν αἷς αὐτοὺς φίλους εἶναι Καίσαρος παρε-
132 κάλει καὶ ξένια καὶ πάντα τὰ ἐπιτήδεια χορηγεῖν τῷ στρατῷ. καὶ οἱ μὲν ὡς ἐθεώρουν
τὸν Ἀντίπατρον καὶ τὸν ἀρχιερέα συνελθόντας ὑπήκουον. τούτους δὲ προσθεμένους
ἀκούσαντες οἱ περὶ Μέμφιν ἐκάλουν καὶ αὐτοὶ τὸν Μιθριδάτην πρὸς αὐτούς· κἀκεῖνος
ἐλθὼν καὶ τούτους παραλαμβάνει.

133 Ἐπεὶ δὲ συμβάλλει τοῖς πολεμίοις, εἶχε τὸ μὲν δεξιὸν κέρας Μιθριδάτης, τὸ δὲ
134 εὐώνυμον Ἀντίπατρος. συμπεσόντων δὲ εἰς μάχην κλίνεται τὸ τοῦ Μιθριδάτου κέρας καὶ
παθεῖν ἂν ἐκινδύνευσε τὰ δεινότατα, εἰ μὴ παρὰ τὴν ἠϊόνα τοῦ ποταμοῦ σὺν τοῖς οἰκείοις
στρατιώταις Ἀντίπατρος παραθέων νενικηκὼς ἤδη τοὺς πολεμίους τὸν μὲν ῥύεται, τρέπεται
135 δὲ εἰς φυγὴν τοὺς νενικηκότας Αἰγυπτίους. αἱρεῖ δὲ αὐτῶν καὶ τὸ στρατόπεδον ἐπιμείνας
τῇ διώξει, τόν τε Μιθριδάτην ἐκάλει πλεῖστον ἐν τῇ τροπῇ διασχόντα. ἔπεσον δὲ τῶν
136 μὲν περὶ τοῦτον ὀκτακόσιοι, τῶν δὲ Ἀντιπάτρου πεντήκοντα. Μιθριδάτης δὲ περὶ τούτων
ἐπιστέλλει Καίσαρι τῆς τε νίκης αὐτοῖς ἅμα καὶ τῆς σωτηρίας αἴτιον ἀποφαίνων Ἀντίπατρον,
ὥστε τὸν Καίσαρα τότε μὲν ἐπαινεῖν αὐτόν, κεχρῆσθαι δὲ παρὰ πάντα τὸν πόλεμον εἰς
τὰ κινδυνωδέστατα τῷ Ἀντιπάτρῳ· καὶ δὴ καὶ τρωθῆναι συνέβη παρὰ τοὺς ἀγῶνας αὐτῷ.
137 καταλύσας μέντοι Καίσαρ μετὰ χρόνον τὸν πόλεμον καὶ εἰς Συρίαν ἀποπλεύσας, Ὑρκανῷ
μὲν τὴν ἀρχιερωσύνην ἐβεβαίωσεν, ἐτίμησε δὲ Ἀντίπατρον ὑπερβαλλόντως καὶ πολιτείαν
138 ἐν Ῥώμῃ δοὺς καὶ ἀτέλειαν· καὶ πανταχῇ δὲ λέγεται καὶ ὑπὸ πολλῶν Ὑρκανὸν ταύτης
140 κοινωνῆσαι τῆς στρατιᾶς καὶ ἐλθεῖν εἰς Αἴγυπτον. ἐλθὼν δὲ τότε καὶ Ἀντίγονος ὁ Ἀριστο-
βούλου πρὸς Καίσαρα τήν τε τοῦ πατρὸς ἀπωδύρετο τύχην καὶ ὡς δι' αὐτὸν ἀποθάνοι
φαρμάκοις ἀναιρεθεὶς Ἀριστόβουλος καὶ ὁ ἀδελφὸς αὐτοῦ κτείναντος πελέκει Σκηπίωνος,
ἐδεῖτο τὲ λαβεῖν οἶκτον αὐτοῦ τῆς ἀρχῆς ἐκβεβλημένου, Ὑρκανοῦ δὲ ἐπὶ τούτοις καὶ Ἀντι-
141 πάτρου κατηγόρει βιαίως ἐξηγουμένων τοῦ ἔθνους καὶ εἰς αὐτὸν παρανομησάντων. παρὼν

2 Ἀλεξάνδρας Iosephus. — 7 τῷ ante Μιθριδ. om. Iosephus. — 10 ἄρας] δὲ ἄρας Iosephus. — 17 ἐθεώρουν] ἑώρων Iosephus. — 19 αὐτοὺς ex αὑτοὺς corr. Busb. — 21 i. marg. ιε' Busb. — 24 τὸν μὲν i. ras. 2—3 litt. Busb. — 29 πάντα i. ras. angustius scriptum Busb.



Zonaras I p. 404 Bonn.

δὲ Ἀντίπατρος ἀπελογεῖτο μὲν ὑπὲρ ὧν ἑώρα κατ' αὐτοῦ τὴν κατηγορίαν γενομένην, νεω-
τεριστὰς δὲ ἀπέφαινε τοὺς περὶ τὸν Ἀντίγονον καὶ στασιώδεις, ὅσα τὲ πονήσειεν αὐτοῖς
καὶ συνεργήσειεν ὑπεμίμνησκεν ἐπὶ τοῖς στρατεύμασι ποιούμενος τοὺς λόγους ὧν αὐτὸς
ἦν μάρτυς. δικαίως τὲ ἔλεγεν Ἀριστόβουλον μὲν εἰς Ῥώμην ἀνάρπαστον γενόμενον πολέ- 142
μιον ἀεὶ καὶ μηδέποτε εὔνουν ὑπάρξαντα Ῥωμαίοις, τὸν δὲ ἀδελφὸν αὐτοῦ κολασθέντα
ἐπὶ λῃστείᾳ ὑπὸ Σκηπίωνος τυχεῖν ὧν ἄξιος ἦν, ἀλλ' οὐ κατὰ βίαν καὶ ἀδικίαν τοῦτο
παθεῖν ὑπὸ τοῦ δράσαντας. τούτους Ἀντιπάτρου ποιησαμένου τοὺς λόγους Καίσαρ Ὑρκανὸν 143
μὲν ἀποδείκνυσιν ἀρχιερέα, Ἀντιπάτρῳ δὲ ἀφίησι δυναστείαν ἣν αὐτὸς προαιρεῖται.
ταύτην δ' ἐπ' αὐτῷ ποιησάμενος τὴν κρίσιν ἐπίτροπον αὐτὸν ἀποδείκνυσι τῆς Ἰουδαίας.
ἐπιτρέπει δὲ καὶ Ὑρκανῷ τὰ τῆς πατρίδος ἀναστῆσαι τείχη ταύτην αἰτησαμένῳ τὴν χάριν· 144
ἔτι γὰρ ἔρριπτο Πομπηΐου καταβαλόντος· καὶ ταῦτα ἐπιστέλλει τοῖς ὑπάτοις εἰς Ῥώμην
ἀναγράψαι ἐν τῷ Καπετωλίῳ. Καίσαρ δὲ διοικήσας τὰ κατὰ τὴν Συρίαν ἀπέπλευσεν. ὡς 156
δὲ Καίσαρα προπέμψας ἐκ τῆς Συρίας Ἀντίπατρος εἰς τὴν Ἰουδαίαν ὑπέστρεψεν, ἀνεγείρει
μὲν εὐθὺς τὸ τεῖχος καὶ τὸν κατὰ τὴν χώραν θόρυβον ἐπιὼν κατέστελεν, ἀπειλῶν τε ἅμα
καὶ συμβουλεύων ἠρεμεῖν· τὰ μὲν γὰρ Ὑρκανοῦ φρονοῦντας ἐν εὐδαιμονίᾳ διάξειν καὶ 157
βιώσεσθαι τῶν ἰδίων ἀπολαύοντας κτημάτων ἀταράχως, προστιθεμένους δὲ ταῖς ἐκ τοῦ
νεωτερίζειν ἐλπίσι καὶ τοῖς ἀπ' αὐτῶν κέρδεσι προσανέχοντας αὐτὸν μὲν ἕξειν ἀντὶ προ-
στάτου δεσπότην, Ὑρκανὸν δὲ ἀντὶ βασιλέως τύραννον, Ῥωμαίους δὲ καὶ Καίσαρα πικροὺς
ἀνθ' ἡγεμόνων πολεμίους. ταῦτα λέγων καθιστᾷ τὰ κατὰ τὴν χώραν.

Βραδὺν δὲ ὁρῶν καὶ νωθῆ τὸν Ὑρκανὸν Φασάηλον μὲν τὸν πρεσβύτατον τῶν παίδων 158
Ἱεροσολυμιτῶν καὶ τῶν πέριξ στρατηγὸν ἀποδείκνυσι, τῷ δὲ μετ' αὐτὸν Ἡρώδῃ τὴν Γαλι-
λαίαν ἐπιτρέπει νέῳ παντάπασιν ὄντι· πεντεκαίδεκα γὰρ ἐγεγόνει μόνον ἔτη αὐτῷ. ὢν 159
δὲ τὸ φρόνημα γενναῖος ὁ νεανίας ἀφορμὴν εὑρίσκει τὴν ἀρχὴν εἰς ἐπίδειξιν τῆς ἀρετῆς.
καταλαβὼν γὰρ Ἐζεκίαν τὸν ἀρχιλῃστὴν τὰ προσεχῆ τῆς Συρίας κατατρέχοντα σὺν μεγάλῳ
στίφει, τοῦτον συλλαβὼν κτείνει καὶ πολλοὺς τῶν σὺν αὐτῷ λῃστῶν. σφόδρα δὲ αὐτοῦ 160
τοῦτο τὸ ἔργον ἠγάπησαν οἱ Σύροι· ὕμνουν γοῦν αὐτὸν ἐπὶ τούτῳ κατά τε χώρας καὶ
κατὰ πόλιν ὡς εἰρήνην αὐτοῖς παρεσχηκότα καὶ ἀσφαλῆ τῶν κτημάτων ἀπόλαυσιν. ἐγένετο
δὲ διὰ τοῦτο καὶ Σέξτῳ Καίσαρι γνώριμος ὄντι συγγενεῖ τοῦ μεγάλου Καίσαρος καὶ διέ-
ποντι τὴν Συρίαν. ζῆλος δὲ ἐμπίπτει τῶν Ἡρώδῃ πεπραγμένων Φασαήλῳ τῷ ἀδελφῷ, 161
καὶ πρὸς τὴν εὐδοκίμησιν αὐτοῦ κινηθεὶς ἐφιλοτιμεῖτο μὴ ἀπολειφθῆναι τῆς ὁμοίας εὐφη-
μίας, καὶ τοὺς ἐν Ἱεροσολύμοις εὐνουστέρους ἐποιεῖτο, οὔτε ἀπειροκάλως τοῖς πράγμασι
προσφερόμενος οὔτε ἐξυβρίζων εἰς τὴν ἐξουσίαν. ταῦτα Ἀντίπατρον ἐποίει θεραπείας 162
παρὰ τοῦ ἔθνους τυγχάνειν βασιλικῆς καὶ τιμῶν οἵων ἄν τις μεταλαμβάνοι τῶν ὅλων ὢν
δεσπότης. οἱ δὲ ἐν τέλει τῶν Ἰουδαίων ὁρῶντες τὸν Ἀντίπατρον καὶ τοὺς υἱοὺς αὐτοῦ 163
μεγάλως αὐξανομένους κακοήθως εἶχον πρὸς αὐτόν· καὶ γὰρ φιλίαν ὁ Ἀντίπατρος ἦν 164
πεποιημένος πρὸς τοὺς τῶν Ῥωμαίων αὐτοκράτορας καὶ χρήματα πείσας τὸν Ὑρκανὸν
πέμψαι νοσφίζεται τὴν δωρεὰν αὐτὸς ὡς ἴδια ἀλλ' οὐχ ὡς Ὑρκανοῦ διδόντος ἔπεμψε.
ταῦτα Ὑρκανὸς ἀκούων οὐκ ἐφρόντιζεν, ἐν δέει δὲ ἦσαν οἱ πρῶτοι τῶν Ἰουδαίων ὁρῶντες 165

14 κατέστελλεν ex corr. Busb. — 16 βιώσασθαι man. 1 Busb. — 18 καὶ s. man. 1 Busb. — 20 i. marg. ιζ' Busb. — 29 ἐμπίπτει] Iosephus ἐκπίπτει Busb. — 33 τυγχάνει Busb.

Zonaras 1 p. 405 Bonn.

τὸν Ἡρώδην βίαιον καὶ τολμηρὸν καὶ τυραννίδος γλιχόμενον· καὶ φανερῶς ἤδη κατηγόρουν
Ἀντιπάτρου, καὶ „μέχρι πότε, τῷ Ὑρκανῷ ἔφασαν, ἐπὶ τοῖς πραττομένοις ἡσυχάζεις; ἢ
οὐχ ὁρᾷς Ἀντίπατρον μὲν καὶ τοὺς παῖδας αὐτοῦ τὴν ἀρχὴν διεζωσμένους, σαυτὸν δὲ τῆς
166 βασιλείας ὄνομα μόνον ἀκούοντα; ἀλλὰ μὴ ἀκίνδυνος εἶναι νόμιζε ῥαθυμῶν περί τε σαυτῷ
καὶ τῇ βασιλείᾳ· οὐ γὰρ ἐπίτροποί σου τῶν πραγμάτων Ἀντίπατρος καὶ οἱ παῖδες αὐτοῦ
167 νῦν εἰσίν, ἀλλὰ δεσπόται φανερῶς ἀνωμολόγηνται· καὶ γὰρ Ἡρώδης ὁ παῖς αὐτοῦ Ἐζεκίαν
ἀπέκτεινε καὶ πολλοὺς σὺν αὐτῷ παραβὰς τὸν ἡμέτερον νόμον, ὃς κεκώλυκεν ἄνθρωπον
ἀναιρεῖν καὶ πονηρὸν ὄντα, εἰ μὴ πρότερον κατακριθείη τοῦτο παθεῖν ὑπὸ τοῦ συνεδρίου.
168 μὴ λαβὼν δὲ ἐξουσίαν παρὰ σοῦ ταῦτα ἐτόλμησεν.“ Ὑρκανὸς δὲ ταῦτα ἀκούσας πείθεται·
προσεξῆψαν δὲ αὐτοῦ τὴν ὀργὴν καὶ αἱ μητέρες τῶν ὑπὸ Ἡρώδου πεφονευμένων· αὗται
γὰρ καθ' ἑκάστην ἡμέραν ἐν τῷ ἱερῷ παρακαλοῦσαι τὸν βασιλέα καὶ τὸν δῆμον, ἵνα δίκην
169 Ἡρώδης τῷ συνεδρίῳ τῶν πεπραγμένων ὑπόσχῃ, διετέλουν. κινηθεὶς οὖν ὑπὸ τούτων
Ὑρκανὸς Ἡρώδην ἐκάλει δικασόμενον ὑπὲρ ὧν διεβάλλετο. ὁ δὲ ἧκε τοῦ πατρὸς αὐτὸν
παραινέσαντος μὴ ὡς ἰδιώτην μετὰ δὲ ἀσφαλείας εἰσελθεῖν καὶ φυλακῆς τῆς περὶ τὸ
σῶμα καὶ μετὰ στίφους ἀποχρῶντος αὐτῷ πρὸς τὴν ὁδόν, ὡς μήτε ἐπίφοβος Ὑρκανῷ
170 δόξειε μήτε γυμνὸς καὶ ἀφύλακτος εἴη πρὸς τὴν δίκην. Σέξτος μέντοι ὁ τῆς Συρίας ἡγεμὼν
γράφει παρακαλῶν Ὑρκανὸν ἀπολῦσαι τὸν Ἡρώδην ἐκ τῆς δίκης καὶ προσαπειλῶν παρα-
κούσαντι. τῷ δὲ ἦν ἀφορμὴ τὸ παρὰ τοῦ Σέξτου γράμμα πρὸς τὸ ἀπολῦσαι τὸν Ἡρώδην·
171 ἠγάπα γὰρ αὐτὸν ὡς υἱόν. καταστὰς δὲ ἐν τῷ συνεδρίῳ μετὰ τοῦ σὺν αὐτῷ τάγματος
κατέπληξεν ἅπαντας καὶ κατηγορεῖν ἐθάρρει τὸ λοιπὸν οὐδεὶς τῶν πρὶν ἀφικέσθαι δια-
172 βαλλόντων, ἀλλ' ἦν ἡσυχία καὶ τοῦ τί χρὴ ποιεῖν ἀπορία. διακειμένων δὲ οὕτως εἷς τις
Σαμαῖος ὀνόματι, δίκαιος ἀνὴρ καὶ διατοῦτο τοῦ δεδιέναι κρείττων, ἀναστὰς εἶπεν· „ἄνδρες
σύνεδροι καὶ βασιλεῦ, οὐδὲ αὐτὸς οἶδα τῶν πώποτε κεκλημένων εἰς δίκην τινὰ οὕτω παρα-
στάντα οὔτε ὑμᾶς ἔχειν εἰπεῖν ὑπολαμβάνω, ἀλλὰ πᾶς κριθησόμενος ταπεινὸς παρίσταται
καὶ σχήματι δεδοικότος καὶ ἔλεον θηρωμένου, κόμην τε ἐπιθρέψας καὶ ἐσθῆτα μέλαιναν
173 ἐνδεδυμένος. ὁ δὲ βέλτιστος Ἡρώδης φόνου δίκην φεύγων καὶ ἐπ' αἰτίᾳ τοιαύτῃ κεκλη-
μένος ἕστηκε τὴν πορφύραν περικείμενος καὶ τὴν κεφαλὴν κεκοσμημένος τῇ συνθέσει τῆς
κόμης καὶ περὶ αὐτὸν ἔχων ὁπλίτας, ἵνα ἂν κατακρίνωμεν αὐτὸν κατὰ τὸν νόμον, κτείνῃ
174 μὲν ἡμᾶς, αὐτὸν δὲ σώσῃ βιασάμενος τὸ δίκαιον. ἀλλ' Ἡρώδην μὲν ἐπὶ τούτοις οὐκ ἂν
μεμψαίμην, εἰ τὸ αὐτοῦ συμφέρον ποιεῖται περὶ πλείονος ἢ τὸ νόμιμον, ὑμᾶς δὲ καὶ τὸν
βασιλέα τοσαύτην ἄδειαν αὐτῷ παρασχόντα. ἴστε μέντοι μέγαν τὸν θεὸν καὶ οὗτος, ὃν
175 νῦν δι' Ὑρκανὸν ἀπολῦσαι βούλεσθε, κολάσει ὑμᾶς ποτὲ καὶ αὐτὸν τὸν βασιλέα.“ διή-
μαρτε δὲ οὐδὲν τῶν εἰρημένων· ὁ γὰρ Ἡρώδης τὴν βασιλείαν παραλαβὼν πάντας
176 ἀπέκτεινε τοὺς ἐν τῷ συνεδρίῳ καὶ Ὑρκανὸν αὐτὸν χωρὶς τοῦ Σαμαίου· σφόδρα γὰρ αὐτὸν
διὰ τὴν δικαιοσύνην ἐτίμησε καὶ ὅτι τῆς πόλεως μετὰ ταῦτα πολιορκουμένης ὑπό τε
Ἡρώδου καὶ Σοσσίου παρῄνεσε τῷ δήμῳ δέξασθαι τὸν Ἡρώδην, εἰπὼν διὰ τὰς ἁμαρτίας
177 οὐ δυνήσεσθε διαφυγεῖν αὐτόν. καὶ περὶ μὲν τούτων κατὰ χώραν ἐροῦμεν. Ὑρκανὸς δὲ
ὁρῶν ὡρμημένους πρὸς τὴν ἀναίρεσιν Ἡρώδου τοὺς ἐν τῷ συνεδρίῳ τὴν δίκην εἰς ἄλλην

10 *μητέρες*, *ε* (in *ες*) i. ras. 2 litterarum m. 2 Busb. — 27 *ἕστηκε* Busb. — 28 *κτείνει* et 29 *σώσει* Busb. — 32 *βούλεσθαι* man. 1 Busb.



Zonaras 1 p. 406 Bonn.

ἡμέραν ἀνεβάλετο, καὶ πέμψας κρύφα πρὸς τὸν Ἡρώδην συνεβούλευσεν αὐτῷ φυγεῖν ἀπὸ
τῆς πόλεως· οὕτω γὰρ τὸν κίνδυνον διαφεύξεσθαι. καὶ ὁ μὲν ἀνεχώρησεν εἰς Δαμασκὸν 178
ὡς φεύγων τὸν βασιλέα, καὶ παραγενόμενος πρὸς Σέξτον Καίσαρα καὶ τὰ καθ' αὑτὸν
ἀσφαλισάμενος οὕτως εἶχεν, ὡς εἰ καλοῖτο πάλιν εἰς τὸ συνέδριον ἐπὶ δίκην οὐχ ὑπακου-
σόμενος. ἠγανάκτουν δὲ οἱ ἐν τῷ συνεδρίῳ καὶ τὸν Ὑρκανὸν ἐδίδασκον, ὅτι ταῦτα πάντα 179
εἴη κατ' αὐτοῦ. ὁ δὲ πράττειν οὐδὲν εἶχεν ὑπ' ἀνανδρίας καὶ ἀνοίας. Σέξτου δὲ ποιή- 180
σαντος Ἡρώδην στρατηγὸν τῆς κοίλης Συρίας, χρημάτων γὰρ αὐτῷ τοῦτο ἀπέδοτο, Ὑρκανὸς
ἦν ἐν φόβῳ, μὴ στρατεύσηται Ἡρώδης ἐπ' αὐτόν. οὐ πολὺ δὲ τὸ δέος ἐβράδυνεν, ἀλλ'
ἧκεν ἄγων ἐπ' αὐτὸν Ἡρώδης στρατιὰν ὀργιζόμενος τῆς δίκης αὐτῷ καὶ τοῦ κληθῆναι πρὸς
τὸ λόγον ὑποσχεῖν ἐν τῷ συνεδρίῳ. διεκώλυσαν δὲ αὐτὸν προσβάλλειν τοῖς Ἱεροσολύμοις 181
ὅ τε πατὴρ καὶ ὁ ἀδελφός, παρακαλέσαντες ἔργῳ μὴ ἐγχειρεῖν, ἀπειλῇ δὲ καταπληξάμενον
περαιτέρω μὴ χωρῆσαι. ἠξίουν τε περὶ τοῦ κληθέντα ἐπὶ δίκην ἀγανακτοῦντα μεμνῆσθαι 182
καὶ τῆς ἀφέσεως καὶ χάριν αὐτῷ εἰδέναι. πείθεται τούτοις Ἡρώδης. καὶ τὰ μὲν κατὰ 184
τὴν Ἰουδαίαν οὕτως εἶχε. Καῖσαρ δὲ ἐλθὼν εἰς Ῥώμην ἕτοιμος ἦν πλεῖν ἐπ' Ἀφρικῆς 185
πολεμήσων καὶ Σκηπίωνι καὶ Κάτωνι, πέμψας δὲ πρὸς αὐτὸν Ὑρκανὸς βεβαιώσασθαι τὴν
πρὸς αὐτὸν παρεκάλει φιλίαν καὶ συμμαχίαν. ὁ δὲ μετὰ τῆς συγκλήτου δόγμα περὶ τού-
του πεποίηκε πρός τε Ὑρκανὸν καὶ τὸ ἔθνος ἡμῶν. μετὰ τὸν Γαΐου δὲ Καίσαρος θάνατον 217
Ἀντώνιος Μάρκος καὶ Πόπλιος Δολοβέλλας ὕπατοι ὄντες τήν τε σύγκλητον συνήγαγον καὶ
τοὺς παρ' Ὑρκανοῦ πρέσβεις παραγαγόντες φιλίαν πρὸς αὐτοὺς ὡς ἠξίουν ἐποιήσαντο,
καὶ πάντα συγχωρεῖν αὐτοῖς ὅσων τυγχάνειν ἐβούλοντο ἡ σύγκλητος ἐψηφίσατο. Ὑρκανὸς 223
δὲ καὶ πρὸς Δολοβέλλαν τὸν τῆς Ἀσίας τότε ἡγεμόνα πρεσβείαν ἐποιήσατο παρακαλῶν
ἀπολῦσαι τοὺς Ἰουδαίους τῆς στρατείας καὶ τὰ πάτρια τηρεῖν ἔθη ἐπιτρέπειν τὲ αὐτοῖς
κατὰ ταῦτα ζῆν, οὗ τυχεῖν αὐτῷ ῥαδίως ἐγένετο· ἐπιστέλλει γὰρ τοῖς κατὰ τὴν Ἀσίαν 224
πᾶσιν ὁ Δολοβέλλας οὕτω πράττειν ἐπὶ τοῖς Ἰουδαίοις ὡς ᾐτήσατο Ὑρκανός. συνέβη δὲ ὑπὸ 268
τὸν αὐτὸν καιρὸν ταραχθῆναι τὰ κατὰ τὴν Συρίαν ἐξ αἰτίας τοιαύτης· Βάσσος Κικίλλιος εἷς
τῶν τὰ Πομπηΐου φρονούντων ἐπιβουλὴν συνθεὶς ἐπὶ Σέξτῳ Καίσαρι κτείνει μὲν ἐκεῖνον,
αὐτὸς δὲ τὸ στράτευμα αὐτοῦ παραλαβὼν τῶν πραγμάτων ἐκράτει, πόλεμός τε μέγας περὶ
τὴν Ἀπάμειαν συνέστη πρὸς αὐτὸν ἐλθόντων τῶν Καίσαρος στρατηγῶν. τούτοις δὲ καὶ 269
Ἀντίπατρος συμμαχίαν ἔπεμψε μετὰ τῶν τέκνων κατὰ μνήμην ὧν εὐεργετηθείησαν ὑπὸ
τοῦ Καίσαρος δια τοῦτο τιμωρεῖν αὐτῷ καὶ δίκην παρὰ τοῦ πεφονευκότος εἰσπράξασθαι
δίκαιον ἡγούμενος. τριβομένου δὲ τοῦ καιροῦ ἐν τῷ πολέμῳ Μάρκος μὲν ἦλθεν ἐκ Ῥώμης 270
εἰς τὴν ἀρχὴν τοῦ Σέξτου, ὁ δέ γε Καῖσαρ ὑπὸ τῶν περὶ Κάσσιον καὶ Βροῦτον ἐν τῷ
βουλευτηρίῳ κτείνεται ἔτη τρία κατασχὼν τὴν ἀρχὴν καὶ μῆνας ἕξ.

Πολέμου δὲ συνερρωγότος ἐπὶ τῷ θανάτῳ τοῦ Καίσαρος καὶ τῶν ἐν τέλει ἐπὶ 271
στρατείας συλλογὴν ἄλλου ἄλλῃ διεσπαρμένων, Κάσσιος ἀφικνεῖται εἰς Συρίαν παραληψό-
μενος τὰ περὶ τὴν Ἀπάμειαν στρατόπεδα· ὃς καὶ λύσας τὴν πολιορκίαν ἀμφοτέρους προσ- 272
άγεται τόν τε Βάσσον καὶ τὸν Μάρκον τάς τε πόλεις ἐπερχόμενος ὅπλα τὲ καὶ στρα-
τιώτας συνήθροιζε καὶ φόρους αὐταῖς μεγάλους ἐπετίθει· μάλιστα δὲ τὴν Ἰουδαίαν ἐκάκωσεν

19 *αὐτοὺς* i. marg, suppl. man. 1 Busb. — 26 *σέξτω* ex *σέξτου* corr. Busb. — 26 *Καίσαρι* ex *Καῖσαρ* corr. Busb. — 34 i. marg. *ιη'* Busb. — 35 *ἄλλων* Zonaras cum Iosephi codd. quibusdam.

Zonaras I p. 407 Bonn.

273 ἑπτακόσια τάλαντα ἀργυρίου εἰσπραττόμενος. Ἀντίπατρος δὲ ὁρῶν ἐν μεγάλῳ φόβῳ καὶ
ταραχῇ τὰ πράγματα μερίζει τὴν τῶν χρημάτων εἴσπραξιν καὶ ἑκατέρῳ τῶν υἱῶν συνάγειν
274 δίδωσι. καὶ πρῶτος Ἡρώδης ἀπὸ τῆς Γαλιλαίας εἰσπραξάμενος ὅσα ἦν αὐτῷ προστετα-
275 γμένα φίλος ἦν ἐς τὰ μάλιστα Κασσίῳ. ἐπιπράσκοντο δὲ αὔτανδροι ὅσοι τῶν ἄλλων
276 ἐπιμεληταί, καὶ τέσσαρας πόλεις ἐξηνδραπόδισε Κάσσιος. ἀνεῖλε δ' ἂν ὑπ' ὀργῆς καὶ
Μάλιχον, εἰ μὴ Ὑρκανὸς δι' Ἀντιπάτρου ρ' τάλαντα αὐτῷ πέμψας ἐπέσχε τῆς ὁρμῆς.
277 ἐπεὶ δὲ Κάσσιος ἐκ τῆς Ἰουδαίας ἀπῆρε, Μάλιχος ἐπεβούλευσεν Ἀντιπάτρῳ τὴν
τούτου τελευτὴν ἀσφάλειαν Ὑρκανοῦ τῆς ἀρχῆς ἔσεσθαι νομίζων. οὐ μὴν ἐλάνθανε
τὸν Ἀντίπατρον ταῦτα φρονῶν, ἀλλ' αἰσθόμενος ἐκεῖνος ἐχώρει πέραν Ἰορδάνου καὶ
278 στρατὸν Ἀράβιον ἅμα καὶ ἐγχώριον συνήθροιζε. δεινὸς δὲ ὢν ὁ Μάλιχος ἠρνεῖτο τὴν
ἐπιβουλὴν ἀπολογούμενος μεθ' ὅρκων αὐτῷ τὲ καὶ τοῖς παισίν. ὁρῶν οὖν τὴν ἀπορίαν
279 καταλλάσσεται πρὸς τὸν Ἀντίπατρον, Μάρκος μέντοι κατὰ Συρίαν στρατηγῶν αἰσθόμενος
νεωτεροποιοῦντα τὰ κατὰ τὴν Ἰουδαίαν τὸν Μάλιχον ἦλθεν ὡς παρὰ μικρὸν αὐτὸν ἀνελεῖν,
280 Ἀντιπάτρου δὲ παρακαλέσαντος περιέσωσεν. ἔλαθε δὲ ἄρα φονέα περισώσας Ἀντίπατρος
αὐτοῦ τὸν Μάλιχον· Κάσσιος μὲν γὰρ καὶ Μάρκος στρατὸν ἀθροίσαντες τήν τε ἐπιμέλειαν
ἅπασαν ἐνεχείρισαν Ἡρώδῃ καὶ στρατηγὸν αὐτὸν κοίλης Συρίας ἐποίησαν πλοῖα δόντες
καὶ δύναμιν ἱππικήν τε καὶ πεζικήν, ὑποσχόμενοι δὲ καὶ βασιλέα τῆς Ἰουδαίας ἀναδείξειν
281 μετὰ τὸν πόλεμον· συνειστήκει γὰρ τότε πρός τε Ἀντώνιον καὶ τὸν νέον Καίσαρα. Μάλιχος
δὲ δείσας τότε μάλιστα τὸν Ἀντίπατρον ἐκποδὼν ἐποιεῖτο, καὶ πείσας ἀργυρίῳ τὸν Ὑρκανοῦ
282 οἰνοχόον, παρ' ᾧ ἑκάτεροι εἱστιῶντο, φαρμάκῳ κτείνει τὸν ἄνδρα. γνόντων δὲ τὴν κατὰ
τοῦ πατρὸς ἐπιβουλὴν Ἡρώδου καὶ Φασαήλου καὶ χαλεπῶς ἐχόντων, ἔξαρνος ἦν τοῦ φόνου
283 ὁ Μάλιχος. τῶν δὲ παίδων Ἀντιπάτρου Ἡρώδης μὲν εὐθὺς ἔγνω τιμωρεῖν τῷ πατρὶ
μετὰ τῆς στρατιᾶς ἐπὶ Μάλιχον ἐλθών. Φασαήλῳ δὲ τῷ πρεσβυτέρῳ δόλῳ μᾶλλον ἐδόκει
284 περιγενέσθαι τοῦ ἀνδρός, μὴ πολέμου κατάρχειν νομισθῶσιν ἐμφυλίου. τήν τε ἀπολογίαν
τοῦ Μαλίχου προσδέχεται καὶ πιστεύειν ὑποκρίνεται μηδὲν αὐτὸν περὶ τὸν Ἀντιπάτρου
κακουργῆσαι θάνατον, τάφον τὲ κοσμεῖ τῷ πατρί. καὶ παραγενόμενος Ἡρώδης εἰς Σαμά-
ρειαν καὶ καταλαβὼν αὐτὴν κεκακωμένην ἀνεκτᾶτο καὶ τὰ νείκη διέλυε τοῖς ἀνθρώποις.
285 μετ' οὐ πολὺ δὲ ἐνστάσης τῆς ἐν Ἱεροσολύμοις ἑορτῆς παρεγένετο σὺν τοῖς στρατιώταις εἰς
τὴν πόλιν, καὶ δείσας ὁ Μάλιχος ἀνέπεισεν Ὑρκανὸν μὴ ἐπιτρέπειν αὐτῷ εἰσιέναι. καὶ
πείθεται μὲν Ὑρκανός, προὐβέβλητο δὲ αἰτίαν τῆς ἀποκωλύσεως τὸ μὴ δεῖν ὄχλον ἀλλο-
286 δαπὸν ἁγνεύοντος εἰςδέχεσθαι τοῦ πλήθους. ὀλίγον δὲ φροντίσας Ἡρώδης τῶν ἀγγέλων
νύκτωρ εἴσεισιν εἰς τὴν πόλιν καὶ φοβερὸς μὲν ἦν τῷ Μαλίχῳ, ὁ δὲ οὐκ ἀνίησι τὴν ὑπό-
κρισιν, ἀλλ' ἐδάκρυε τὸν Ἀντίπατρον καὶ ἀνεκαλεῖτο φανερῶς ὡς φίλος, κρύφα δὲ φυλακὴν
287 τοῦ σώματος ἐποιεῖτο. ἔδοξε δὲ καὶ τοῖς περὶ Ἡρώδην μὴ ἀπελέγχειν αὐτοῦ τὴν προσ-
288 ποίησιν. Κασσίῳ μέντοι περὶ τῆς τελευτῆς τοῦ πατρὸς Ἡρώδης ἐπέστειλε, κἀκεῖνος
ἀντεπιστέλλει τιμωρεῖν τῷ πατρί, καὶ λάθρα διαπέμπει πρὸς τοὺς ἐν Τύρῳ χιλιάρχους
289 κελεύων αὐτοὺς συμπράττειν Ἡρώδῃ ἐπὶ δικαίαν πρᾶξιν. ὡς δὲ Λαοδίκειαν ἠρηκότος
Κασσίου πρὸς αὐτὸν ἀπήεσαν κοινῇ στεφάνους τὲ αὐτῷ καὶ χρήματα κομίζοντες, Ἡρώδης

14 i. marg. ιθ' Busb. — Ἀντίπατρος] Iosephus ἀντίπατρον Busb. — 28 ἐν i. marg. supplet Busb. — 30 αἰτία Busb. — 33 ἐδάκρυε] ἐδάκρυ in fin. folii 176r Busb.



Zonaras I p. 409 Bonn.

μὲν προσεδόκα δώσειν τὸν Μάλιχον τιμωρίαν ἐκεῖ γενόμενον, ὁ δὲ περὶ Τύρον τῆς 290
Φοινίκης ὑπειδόμενος τὸ πρᾶγμα μειζόνων ἐφήπτετο, καὶ τοῦ παιδὸς αὐτοῦ ὁμηρεύοντος
ἐν Τύρῳ παρελθὼν εἰς τὴν πόλιν ἔγνω τοῦτον ὑποκλέψαι καὶ εἰς τὴν Ἰουδαίαν ἀπαίρειν
σπεύδοντός τε ἐπ' Ἀντώνιον Κασσίου τὸ ἔθνος ἀποστήσας αὐτὸς τὴν ἀρχὴν κατασχεῖν.
τοῖς δὲ βεβουλευμένοις ὅ τε δαίμων ἀντέπραξε καὶ δεινὸς ὢν Ἡρώδης τὴν προαίρεσιν 291
αὐτοῦ κατανοήσας, προεισπέμψας θεράποντα πρὸς τοὺς χιλιάρχους λάθρα ἐξελθεῖν ἐπὶ
Μάλιχον πείθει μετὰ ξιφιδίων. οἱ δὲ ἐξελθόντες καὶ πλησίον τῆς πόλεως αὐτῷ περιτυ- 292
χόντες ἐπὶ τοῦ αἰγιαλοῦ κατακεντοῦσι τὸν ἄνδρα. Ὑρκανὸς μὲν ὑπ' ἐκπλήξεως τοῦ γεγο-
νότος εἰς ἀφωνίαν ἐτράπη, μόλις δὲ ἀνενεγκὼν ἐπυνθάνετο τῶν περὶ τὸν Ἡρώδην, τί
ποτε εἴη τὸ γεγενημένον καὶ τίς ὁ Μάλιχον ἀνῃρηκώς; εἰπόντων δὲ Κάσσιον τοῦτο προσ- 293
τάξαι, ἐπῄνεσε τὸ ἔργον, πονηρὸν γὰρ εἶναι πάνυ καὶ τῆς πατρίδος ἐπίβουλον. Κασσίου 294
δὲ ἐκ Συρίας ἀπάραντος ταραχὴ γίνεται κατὰ τὴν Ἰουδαίαν· Ἕλιγξ γὰρ ὑπολειφθεὶς ἐν
Ἱεροσολύμοις μετὰ στρατιᾶς ὥρμησεν ἐπὶ Φασάηλον, ὁ δὲ δῆμος ἔνοπλος ἦν. Ἡρώδης δὲ 295
βουλόμενος προσδραμεῖν πρὸς τὸν ἀδελφὸν ὑπὸ νόσου κωλύεται, ἕως οὗ Φασάηλος βίᾳ τοῦ
Ελικος κρείττων γενόμενος κατακλείει μὲν αὐτὸν εἰς πύργον, εἶτα δὲ ὑπόσπονδον ἀφίησι,
τόν τε Ὑρκανὸν ἐμέμφετο πολλὰ μὲν εὖ παθόντα ὑπ' αὐτῶν, συμπράττοντα δὲ τοῖς ἐχθροῖς.
ὁ γὰρ ἀδελφὸς Μαλίχου τότε ἀποστατήσας οὐκ ὀλίγα ἐφρούρει χωρία καὶ Μασάδαν τὸ 296
πάντων ἐρυμνότατον. ἐπὶ μὲν τοῦτον ῥαΐσας Ἡρώδης ἐκ τῆς νόσου παραγίνεται καὶ
ἀφελόμενος αὐτοῦ πάντα ὅσα εἶχε χωρία ὑπόσπονδον ἀπέλυσεν.

Ἀντίγονον δὲ τὸν Ἀριστοβούλου στρατιὰν ἀθροίσαντα καὶ Φάβιον τεθεραπευκότα χρή- 297
μασι κατάγει Πτολεμαῖος ὁ Μενναίου διὰ τὸ κήδευμα. συνεμάχει δὲ αὐτῷ καὶ Μαρίων, ὃν
Τυρίων καταλελοίπει Κάσσιος τύραννον. ὁ δὲ Μαρίων καὶ εἰς τὴν Γαλιλαίαν ὅμορον οὖσαν 298
ἐνέβαλε καὶ τρία καταλαβὼν ἐρύματα διὰ φρουρᾶς εἶχεν. ἐλθὼν δὲ ἐπὶ τοῦτον Ἡρώδης
ἅπαντα μὲν αὐτὸν ἀφείλετο, τοὺς δὲ Τυρίων φρουροὺς φιλανθρώπως ἀπέλυσεν ἔστιν οἷς καὶ
δῶρα δοὺς διὰ τὸ πρὸς τὴν πόλιν εὔνουν. ταῦτα διαπραξάμενος ὑπήντησεν Ἀντιγόνῳ καὶ 299
μάχην αὐτῷ συνάψας νικᾷ καὶ ὅσον οὔπω τῶν ἄκρων ἐπιβάντα τῆς γῆς ἐξέωσεν. εἰς
Ἱεροσόλυμα δὲ παραγενόμενον στεφάνοις ἀνέδουν Ὑρκανός τὲ καὶ ὁ δῆμος. ἐπεγαμβρεύετο 300
δὲ καθ' ὁμολογίαν τῷ Ὑρκανοῦ γένει καὶ δια τοῦτο μᾶλλον προειστήκει αὐτοῦ μέλλων
ἄγεσθαι τὴν Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου θυγατέρα, Ὑρκανοῦ δὲ θυγατριδῆν, ἐξ ἧς
πατὴρ γίνεται δύο μὲν ἀρρένων, τριῶν δὲ θηλείων. ἦκτο δὲ πρότερον καὶ γυναῖκα δημότιν
Δωρὶν ὄνομα, ἐξ ἧς αὐτῷ πρεσβύτατος γίνεται παῖς Ἀντίπατρος. Κάσσιον μὲν οὖν 301
χειροῦνται Ἀντώνιός τε καὶ ὁ Καῖσαρ περὶ Φιλίππους. μετὰ δὲ τὴν νίκην Καῖσαρ μὲν
ἐπὶ Γαλίας ἐχώρει, Ἀντώνιος δὲ εἰς τὴν Ἀσίαν ἀπῆρε· γενομένῳ δὲ ἐν τῇ Βιθυνίᾳ αἱ
πανταχόθεν ἀπήντων πρεσβεῖαι. παρῆσαν δὲ καὶ Ἰουδαίων οἱ ἐν τέλει κατηγοροῦντες 302
τῶν περὶ Φασάηλον καὶ Ἡρώδην, πρόσχημα μὲν εἶναι λέγοντες τῆς βασιλείας Ὑρκανόν,
τούτους δὲ πᾶσαν ἔχειν ἐξουσίαν. Ἡρώδην δὲ Ἀντώνιος διὰ πολλῆς εἶχε τιμῆς ἐλθόντα 303
πρὸς αὐτὸν ἐπὶ ἀπολογίᾳ τῶν κατηγορούντων, καὶ δια τοῦτο συνέβη μηδὲ λόγου τυχεῖν
τοὺς ἀντιστασιώτας· διεπέπρακτο δὲ τοῦτο χρήμασιν Ἡρώδης παρ' Ἀντωνίου. ἐπεὶ δὲ εἰς 304

8 μὲν] μὲν οὖν Iosephus. — 11 εἶναι, litt. εἶ i. ras. Busb. — 33 γαλλίας ex corr. Busb. cum Zonara Ἰταλίας dederat Iosephus.

Zonaras I p. 410 Bonn.

Ἔφεσον ἧκεν Ἀντώνιος, ἔπεμψεν Ὑρκανὸς ὁ ἀρχιερεὺς καὶ τὸ ἔθνος πρεσβείαν πρὸς αὐτὸν
στέφανον χρυσοῦν κομίζουσαν καὶ παρακαλοῦσαν τοὺς αἰχμαλωτισθέντας ὑπὸ Κασσίου
Ἰουδαίους οὐ νόμῳ πολέμου γράψαντα τοῖς κατὰ τὰς ἐπαρχίας ἐλευθέρους ἀπολῦσαι καὶ
305 τὴν χώραν ἣν ἐν τοῖς Κασσίου καιροῖς ἀφῃρέθησαν ἀποδοῦναι. ταῦτα κρίνας Ἀντώνιος
313 ἀξιοῦν δίκαια τοὺς Ἰουδαίους ἐπέστειλε δὲ ἅμα καὶ Τυρίοις καὶ διάταγμα ἔγραψεν, ὅπως
εἴ τινες ἐλεύθεροι ἢ δοῦλοι ἐπράθησαν ὑπὸ Γαΐου Κασσίου ἢ τῶν ὑπ' αὐτῷ τεταγμένων
321 ἀπολυθῶσιν οὗτοι, καὶ τὰ ὑπ' αὐτοῦ διηρπαγμένα ἀποκατασταθῆναι τοῖς συμμάχοις
ἡμῶν· καὶ ὅσα ἐπράθη Ἰουδαίων ἤτοι σώματα ἢ κτῆσις ταῦτα ἀφαιρεθῆναι, τὰ μὲν
σώματα ἐλεύθερα, ὡς ἦν ἀπ' ἀρχῆς, ἡ δὲ κτῆσις τοῖς πρότερον κυρίοις.

324 Μετὰ δὲ ταῦτα εἰς Συρίαν Ἀντωνίῳ παραγενομένῳ Κλεοπάτρα περὶ Κιλικίαν ἐντυ-
χοῦσα δι' ἔρωτος αὐτὴν ἐκεχείρωτο. καὶ δὴ πάλιν Ἰουδαῖοι ἑκατὸν οἱ δυνατώτατοι παρα-
γίνονται πρὸς αὐτὸν κατηγοροῦντες Ἡρώδου καὶ τῶν περὶ αὐτὸν προστησάμενοι σφῶν
325 αὐτῶν τοὺς δυνατωτάτους, παρόντος καὶ Ὑρκανοῦ, ὃς κηδεστὴς ἐτύγχανεν ἤδη γενόμενος.
ἀκροασάμενος δὲ ἀμφοτέρων ἐπὶ Δάφνης Ἀντώνιος πυνθάνεται Ὑρκανοῦ, πότεροι τοῦ
326 ἔθνους ἄμεινον προΐστανται· φήσαντος δὲ τοὺς περὶ Ἡρώδην, Ἀντώνιος καὶ πάλαι οἰκείως
ἔχων πρὸς αὐτοὺς διὰ τὴν πατρῴαν ξενίαν, ἣν ἡνίκα σὺν Γαβηνίῳ παρῆν ἐπεποίητο
πρὸς τὸν πατέρα αὐτῶν, τούτους μὲν ἀμφοτέρους τετράρχας καθίστησι καὶ τὰ Ἰουδαίων
αὐτοῖς ἐπιτρέπει πράγματα, γράφει δὲ καὶ γράμματα καὶ δέκα τῶν ἀντιστασιαστῶν ἔδησε,
327 μέλλοντος δὲ καὶ κτείνειν αὐτοὺς παρῃτήσαντο οἱ περὶ Ἡρώδην. ἠρέμουν δὲ οὐδὲ οὕτως
ἐπανελθόντες ἐκ τῆς πρεσβείας, ἀλλὰ ἀπήντων πάλιν Ἀντωνίῳ χίλιοι εἰς Τύρον καὶ ὁ
Ἀντώνιος πολλοῖς διεφθαρμένος ἤδη χρήμασιν ὑπό τε Ἡρώδου καὶ Φασαήλου τῷ κατὰ
τόπον ἄρχοντι προσέταξε κολάσαι τοὺς πρεσβευτὰς τῶν Ἰουδαίων νεωτέρων ἐπιθυμοῦντας
328 πραγμάτων καὶ τοῖς περὶ Ἡρώδην συγκαθιστάναι τὴν ἀρχήν. ταχὺ δὲ Ἡρώδης, ἵδρυντο
γὰρ ἐπὶ τῆς ψάμμου πρὸ τῆς πόλεως, προϊὼν ἀπεῖναι παρεκελεύετο, συνῆν δὲ αὐτοῖς καὶ
Ὑρκανός, ὡς μεγάλου κακοῦ εἰ προέλθοιεν εἰς φιλονεικίαν ἐσομένου. καὶ οἱ μὲν οὐκ ἐπεί-
329 θοντο. παραχρῆμα δὲ ἐκδραμόντες οἱ Ῥωμαῖοι σὺν ἐγχειριδίοις τοὺς μὲν αὐτῶν ἀπέκτειναν,
πλείους δὲ κατέτρωσαν, οἱ δὲ λοιποὶ διαφυγόντες ἐπ' οἴκου περιδεεῖς ἡσύχαζον. τοῦ δὲ
330 δήμου καταβοῶντος Ἡρώδου παροξυνθεὶς Ἀντώνιος τοὺς δεδεμένους ἀπέκτεινε. δευτέρῳ
δὲ ἔτει τὴν Συρίαν κατέσχον Πάκορός τε ὁ βασιλέως παῖς καὶ Βαζαφαρμάνης σατράπης
ὢν Πάρθος. τελευτᾷ δὲ Πτολεμαῖος ὁ Μενναίου καὶ τὴν ἀρχὴν ὁ παῖς αὐτοῦ Λυσανίας
παραλαβὼν διαπράττεται φιλίαν πρὸς Ἀντίγονον τὸν Ἀριστοβούλου, πρὸς τοῦτο χρήσιμον
331 τὸν σατράπην παραλαβὼν μέγα παρ' αὐτῷ δυνάμενον. Ἀντίγονος δὲ ὑπισχνεῖται χίλια
τάλαντα καὶ πεντακοσίας γυναῖκας δώσειν Πάρθοις, εἰ τὴν ἀρχὴν Ὑρκανὸν ἀφελόμενοι
332 παραδώσουσιν αὐτῷ καὶ τοὺς περὶ τὸν Ἡρώδην ἀνέλωσιν. οὐ μὴν ἔδωκεν· ἀλλ' οἱ μὲν
Πάρθοι δια τοῦτο ἐπὶ τὴν Ἰουδαίαν ἐστράτευσαν κατάγοντες Ἀντίγονον, Πάκορος μὲν
333 διὰ τῆς [παραθαλαττίου, ὁ δὲ σατράπης Βαζαφαρμάνης διὰ τῆς] μεσογείου. Τύριοι μὲν
οὖν ἀποκλείουσι Πάκορον, Σιδώνιοι δὲ καὶ Πτολεμαῖοι ἐδέξαντο. ἴλην μέντοι Πάκορος

1 *ἀφηρέθησαν*, litt. *σαν* suppl. Busb. — 5 *δὲ* sic Busb. — 7 *διηρπασμένα* ex corr. m. 2 Busb. — 8 *ἀφαιρεθῆναι*] *ἀφεθῆναι* coni. ex Iosepho. — 10 *κγ'* i. marg. Busb. — 10 *Κιλικίαν*] *κιλιαν* man. 1 Busb. — 11 *αὐτὴν*] *αὐτὸν* Iosephus. — 14 *ἀκροασάμενοι* man. 1 Busb. — 24 *ἀπιέναι* Iosephus. — 36 *παραθαλαττίου — διὰ τῆς* om. Busb. addidi ex Iosepho.



Zonaras I p. 411 Bonn.

ἱππέων εἰς τὴν Ἰουδαίαν ἐξέπεμψε κατασκεψομένην τὲ τὰ περὶ τὴν χώραν καὶ Ἀντιγόνῳ
συμπράξουσαν, ἡγεμόνα τὲ ὁμώνυμον τοῦ βασιλέως οἰνοχόον. ἐκ δὲ τῶν περὶ Κάρμηλον τὸ 334
ὄρος Ἰουδαίων πρὸς Ἀντίγονον ἐλθόντων καὶ συνεισβαλεῖν ἑτοίμως ἐχόντων, προσεδόκα
τῆς χώρας μέρος τί λαβεῖν ὁ Ἀντίγονος, δρυμὼν δὲ τὸ χωρίον καλεῖται, καί τινων ὑπαν-
τιασάντων αὐτοῖς διεκπίπτουσιν εἰς Ἱεροσόλυμα οἱ ἄνθρωποι. προσγενομένων δέ τινων
πολλοὶ συστραφέντες ἐπὶ τὰ βασίλεια ἧκον καὶ ταῦτα ἐπολιόρκουν. προσβοηθούντων δὲ 335
τῶν περὶ Φασάηλον καὶ Ἡρώδην καὶ μάχης γενομένης κατὰ τὴν ἀγορὰν νικῶσιν οἱ νεανίσκοι
τοὺς πολεμίους, καὶ συνδιώξαντες εἰς τὸ ἱερὸν πέμπουσιν ὁπλίτας τινὰς εἰς τὰς πλησίον
οἰκίας φρουρήσοντας αὐτάς, οὓς ἐπαναστὰς ὁ δῆμος συμμάχων ὄντας ἐρήμους σὺν αὐτοῖς
τοὺς οἴκους κατέπρησε. γινομένων δὲ ὁσημέραι ἀκροβολισμῶν αὐτοῖς ἀνέμενον οἱ πολέμιοι 337
τὸν ἐκ τῆς χώρας ὄχλον εἰς τὴν καλουμένην πεντηκοστήν, ἑορτὴ δέ ἐστι, μέλλοντα ἥξειν.
τῆς δὲ ἡμέρας ἐνστάσης πολλαὶ περὶ τὸ ἱερὸν ἀθροίζονται μυριάδες ἀνθρώπων ὡπλισ- 338
μένων τε καὶ ἀνόπλων. κατεῖχον δὲ τὸ ἱερὸν καὶ τὴν πόλιν οἱ παρόντες πλὴν τῶν περὶ
τὰ βασίλεια· ταῦτα γὰρ σὺν ὀλίγοις στρατιώταις οἱ περὶ Ἡρώδην ἐφρούρουν. Φασάηλος 339
μὲν οὖν τὸ τεῖχος ἐφύλασσεν, Ἡρώδης δὲ λόχον ἔχων ἐπέξεισι τοῖς πολεμίοις κατὰ τὸ
προάστειον, καὶ καρτερῶς μαχεσάμενος πολλὰς μυριάδας τρέπει, τῶν μὲν εἰς τὴν πόλιν
φευγόντων, τῶν δὲ εἰς τὸ ἱερόν, ἔστι δὲ ὧν εἰς τὸ ἔξω χαράκωμα· ἦν γάρ τι αὐτόθεν·
παρεβοήθει δὲ Φασάηλος. Πάκορος δὲ ὁ Πάρθων στρατηγὸς σὺν ἱππεῦσιν ὀλίγοις Ἀντι- 340
γόνου δεηθέντος εἰς τὴν πόλιν ἔρχεται, λόγῳ μὲν ὡς καταπαύσειεν τὴν στάσιν, τὸ δὲ
ἀληθὲς συμπράξων ἐκείνῳ τὴν ἀρχήν. Φασαήλου δὲ ὑπαντήσαντος καὶ δεξαμένου ξενίᾳ 341
Πάκορος πείθει πρεσβεύσασθαι παρὰ Βαζαφαρμάνην αὐτόν, δόλον τινὰ τοῦτον συν-
θείς. καὶ Φασάηλος οὐδὲν ὑπειδόμενος πείθεται μὴ ἐπαινοῦντος Ἡρώδου τοῖς πραττο-
μένοις διὰ τὸ τῶν βαρβάρων ἄπιστον, ἀλλὰ καὶ Πακόρῳ καὶ τοῖς ἥκουσιν ἐπιτίθεσθαι
κελεύοντος. ᾤχοντο γοῦν πρεσβεύοντες Ὑρκανός τε καὶ Φασάηλος, Πάκορος δὲ καταλιπὼν 342
Ἡρώδῃ πεντακοσίους ἱππεῖς καὶ δέκα τῶν ἐλευθέρων λεγομένων προὔπεμψεν αὐτούς.
γενομένοις δὲ ἐν τῇ Γαλιλαίᾳ μεθ' ὅπλων ὑπαντῶσιν οἱ ταύτῃ τῶν πολεμίων ἐφεστῶτες.
καὶ Βαζαφαρμάνης τὸ μὲν πρῶτον αὐτοὺς ὑποδέχεται προθύμως καὶ δῶρα δίδωσιν, ἔπειτα 343
ἐπεβούλευε. πλησίον δὲ μετὰ ἱππέων ὑπὲρ θαλάττης οἱ περὶ Φασάηλον κατάγονται καὶ
ἐνταῦθα ἀκούσαντες, ὡς Ἀντίγονος ὑπόσχοιτο χίλια τάλαντα καὶ γυναῖκας πεντακοσίας
τοῖς Πάρθοις κατ' αὐτῶν, δι' ὑποψίας εἶχον ἤδη τοὺς βαρβάρους. οὐ μὴν ἀλλὰ καὶ νύκτωρ 344
ἐπιβουλευομένους αὐτοὺς ἀπήγγειλέ τις φυλακῆς αὐτοὺς ἐκ τάφανοῦς περιϊσταμένης, καὶ
συνελήφθησαν ἄν, εἰ μὴ περιέμενον ἕως ἂν οἱ περὶ Ἱεροσόλυμα Πάρθοι Ἡρώδην συλλά-
βοιεν, μὴ προανῃρημένων τούτων ἐκεῖνος αἰσθόμενος διαφύγοι. καὶ ἦν ταῦτα οὕτως ἔχοντα
καὶ οἱ φύλακες αὐτῶν ἑωρῶντο. Φασαήλῳ μὲν οὖν παρῄνουν τινὲς εὐθὺς παριππάσασθαι 345
καὶ μὴ περιμένειν, μάλιστα δὲ πρὸς ταῦτα αὐτὸν Ὀφέλλιος ἐνῆγετο καὶ πλοῖα πρὸς τὴν
φυγὴν ὑπισχνεῖτο· ἐγγὺς γὰρ ἦν ἡ θάλασσα. ὁ δὲ Ὑρκανὸν ἀπολιπεῖν οὐκ ἠξίου οὐδὲ 346
παρακινδυνεύειν τῷ ἀδελφῷ· τῷ δὲ Βαζαφαρμάνῃ καὶ δίκαια ποιεῖν ἔλεγε τοιαῦτα
βουλευόμενον περὶ αὐτῶν· χρημάτων τὲ γὰρ δεομένῳ πλείονα ἔσεσθαι παρ' αὐτῶν ὧν

17 *αὐτόθι* Iosephus. — 19 *συμπράξων*, inter *ξ* et *ω* una litt. erasa Busb. — 24 *πρεσβεύοντος* man. 1 Busb. — 37 *καὶ*] *οὐ* Iosephus.

Zonaras I p. 412 Bonn.

Ἀντιγόνῳ δίδωσι, καὶ ἄλλως δεινὸν εἶναι πρὸς αὐτὸν ἐπὶ πίστεις συνελθόντας πρεσβευτὰς
347 ἀποκτεῖναι μηδὲν ἀδικοῦντας. ὁ δὲ βάρβαρος ταῦτα λέγοντος ὤμνυε μηδὲν ἀληθὲς εἶναι
348 τῶν ὑπονοουμένων, ἀπῄει δὲ πρὸς Πάκορον. οἰχομένου δὲ τῶν Πάρθων τινὲς ἐδέσμευον
Ὑρκανὸν καὶ Φασάηλον. ὁ δὲ ἐπὶ τὸν Ἡρώδην ἀπεσταλμένος εὐνοῦχος ἐντολὰς εἶχε
349 παραγαγὼν αὐτὸν ἔξω τειχῶν συλλαμβάνειν. ἔτυχον δὲ ἄγγελοι παρὰ Φασαήλου πεμφ-
θέντες ἐπὶ δηλώσει τῆς Πάρθων ἀπιστίας, οὓς τῶν πολεμίων συλλαβόντων γνοὺς Ἡρώδης
330 πρόσεισι Πακόρῳ καὶ Πάρθων τοῖς δυνατωτάτοις ὡς οὖσι τῶν ἄλλων δεσπόταις. οἱ δὲ
τὸ πᾶν εἰδότες ὑπεκρίνοντο δολερῶς καὶ δεῖν αὐτὸν ἔφασαν μετὰ σφῶν ἐξελθόντα πρὸ
τοῦ τείχους ὑπαντᾶν τοῖς γραμματοκομίζουσιν· οὐδέπω γὰρ εἰλῆφθαι πρὸς τῶν ἀντιστα-
351 σιωτῶν, ἥκειν μέντοι δηλοῦντας ὅσα κατορθώσειε Φασάηλος. τούτοις Ἡρώδης οὐκ ἐπί-
στευσεν· ἠκηκόει γὰρ τὴν σύλληψιν τἀδελφοῦ παρ' ἑτέρων· καὶ παραινούσης δὲ τῆς
θυγατρὸς Ὑρκανοῦ, ἧς ἐγγεγύητο τὴν παῖδα, ἔτι μᾶλλον ὑπώπτευε τοὺς Πάρθους.
352 βουλευομένων δὲ τῶν Πάρθων εἰς τὴν ὑστεραίαν Ἡρώδης ἑσπέρας ἐπελθούσης ἔγνω ταύτῃ
353 πρὸς φυγὴν χρήσασθαι. ἄρας οὖν οὓς εἶχεν ὁπλίτας καὶ τὰς γυναῖκας τοῖς ὑποζυγίοις ἐπι-
θέμενος μητέρα ἑαυτοῦ καὶ ἀδελφὴν καὶ ἣν ἔμελλεν ἕξεσθαι πρὸς γάμον Ἀλεξάνδρου
θυγατέρα τοῦ Ἀριστοβούλου παιδὸς τήν τε ταύτης μητέρα, Ὑρκανοῦ δὲ ἦν θυγάτηρ, καὶ
τὸν νεώτατον ἀδελφὸν τήν τε θεραπείαν πᾶσαν καὶ τὸν ἄλλον ὄχλον τὸν σὺν αὐτοῖς, ἐδίωκεν
355 τὴν ἐπὶ Ἰδουμαίας λαθὼν τοὺς πολεμίους. Ἡρώδης δὲ αὐτός τε ἦν πρὸς τὸ δεινὸν
εὔψυχος καὶ παριὼν κατὰ τὴν ὁδὸν θαρρεῖν ἕκαστον παρεκελεύετο καὶ μὴ ἔκδοτον ἑαυτὸν
356 παρέχειν τῇ λύπῃ. καὶ οἱ μὲν ὡς Ἡρώδης παρῄνει φέρειν τὴν συμφορὰν ἐπειρῶντο,
ἐκεῖνος δὲ μικροῦ ἑαυτὸν διεχρήσατο τοῦ ζεύγους περιτραπέντος καὶ τῆς μητρὸς αὐτῷ κιν-
δυνευσάσης ἀποθανεῖν, διά τε τὸ ἐπ' αὐτῇ πάθος καὶ τὸ φοβεῖσθαι, μὴ καταλάβωσιν
357 αὐτὸν οἱ πολέμιοι διώκοντες τριβῆς περὶ τὸ πταῖσμα γενομένης. σπασάμενον γοῦν αὐτὸν
τὸ ξίφος καὶ μέλλοντα πλήττειν ἑαυτὸν κατέσχον οἱ παρόντες, τῷ τε πλήθει κατισχύσαντες
καὶ ὡς οὐκ ἐχρῆν αὐτοὺς ἐγκαταλιπεῖν ἐπὶ τοῖς ἐχθροῖς ἐσομένους λέγοντες· οὐ γὰρ εἶναι
358 γενναίου τῶν δεινῶν αὐτὸν ἐλευθερώσαντα τοὺς φίλους ἐν αὐτοῖς ὑπεριδεῖν. ἀνακτησά-
μενος οὖν τὴν μητέρα καὶ θεραπείας ἧς ὁ καιρὸς ἤπειγεν ἀξιώσας ἐβάδιζε τὴν
προκειμένην ὁδὸν συντονωτέραν ποιούμενος τὴν πορείαν εἰς Μασάδα τὸ ἔρυμα. ἐνίκησε
δὲ πολλὰς μάχας πρὸς τοὺς ἐπεξελθόντας καὶ διώκοντας τῶν Πάρθων μαχεσά-
359 μενος. συνεπέθεντο δὲ αὐτῷ καὶ Ἰουδαῖοι γενόμενοι ἀπὸ σταδίων ἑξήκοντα τῆς πόλεως,
360 361 οὓς δὴ ἐτρέψατο καὶ ἐκράτησε. γενομένῳ δὲ τῆς Ἰουδαίας ἐν Θρήσσᾳ χωρίῳ οὕτω καλου-
μένῳ ὁ ἀδελφὸς Ἰώσηπος ὑπήντησε καὶ βουλὴν ἦγε, τί χρὴ ποιεῖν, πολλοῦ μὲν πλήθους
ἑπομένου καὶ δίχα τῶν μισθοφορούντων αὐτοῖς, τοῦ δὲ χωρίου τῆς Μασάδας, εἰς ὃ προέ-
362 κειτο φυγεῖν, ἐλάττονος ὄντος ὑποδέξασθαι τοσοῦτον ὄχλον. τοὺς μὲν οὖν πλείους ἀπέλυσεν
ὑπὲρ ἐννέα χιλιάδας ὄντας ἄλλον ἀλλαχῇ κελεύσας διὰ τῆς Ἰδουμαίας σώζειν αὐτούς, δοὺς
ἐφόδια· ὅσοι δὲ ἦσαν κοῦφοι καὶ τοὺς ἀναγκαιοτάτους παραλαβὼν εἰς τὸ ἔρυμα παρα-
γίνεται καὶ καταθέμενος αὐτόθι τάς τε γυναῖκας καὶ τοὺς ἑπομένους, ἦσαν δὲ ὀκτακόσιοι,
σίτου ὄντος ἐν τῷ χωρίῳ καὶ ὕδατος καὶ ἄλλων ἐπιτηδείων διαρκούντων αὐτοῖς ἐξώρμησεν

1 Ἀντίγονος Iosephus. — 5 πεμφθέντες, litt ϑ in ras. maiore, έν supra versum Busb. — 9 τοῖς τὰ γράμματα κομίζουσιν Iosephus. — 14 ὁπλίταις Busb., nisi falsus sum; nam ὁπλίτας etiam Zonaras. — 30 γενομένοις Iosephus.



Zonaras I p. 412 Bonn.

αὐτὸς ἐπὶ Πέτραν τῆς Ἀραβίας. ἅμα δὲ ἡμέρᾳ τὰ μὲν ἄλλα τῶν Ἱεροσολυμιτῶν διήρπαζον 363
οἱ Πάρθοι καὶ τὸ βασίλειον, μόνων δὲ ἀπείχοντο τῶν Ὑρκανοῦ χρημάτων· τὰ δὲ ἦν εἰς
ὀγδοήκοντα τάλαντα. πολλὰ δὲ τῶν Ἡρώδου διέφυγε καὶ μάλιστα ὅσα κομισθῆναι κατὰ 364
προμήθειαν τἀνδρὸς εἰς τὴν Ἰουδαίαν ἐφθάκει. καὶ τὴν χώραν δ' ἐκάκουν οἱ Πάρθοι.
Ἀντίγονος μὲν οὖν οὕτω καταχθεὶς εἰς τὴν Ἰουδαίαν ὑπὸ τοῦ Πάρθων βασιλέως 365
Ὑρκανὸν καὶ Φασάηλον δεσμώτας παραλαμβάνει. σφόδρα δὲ ἦν ἄθυμος τῶν γυναικῶν
αὐτῷ διαφυγουσῶν, ἃς τοῖς πολεμίοις ἐνεθυμεῖτο δώσειν, τοῦτον αὐτοῖς μετὰ τῶν χρημά-
των τὸν μισθὸν ὑποσχόμενος. φοβούμενος δὲ τὸν Ὑρκανόν, μὴ τὸ πλῆθος αὐτῷ τὴν βασι- 366
λείαν ἀποκαταστήσῃ, ἀποτέμνει μὲν αὐτοῦ τὰ ὦτα πραγματευόμενος μήτ' αὖθις εἰς αὐτὸν
ἀφικέσθαι τὴν ἀρχιερωσύνην διὰ τὸ λελωβῆσθαι, τοῦ νόμου τῶν ὁλοκλήρων εἶναι τὴν
τιμὴν ἀξιοῦντος. Φασάηλον δ' ἄν τις θαυμάσειε τῆς εὐψυχίας, ὃς γνοὺς ἑαυτὸν ἀπο- 367
σφάττεσθαι μέλλοντα οὐχὶ τὸν θάνατον ἡγήσατο δεινόν, τὸ δὲ ὑπ' ἐχθροῦ τοῦτο παθεῖν
δεινότατον καὶ αἴσχιστον ὑπολαβών, τὰς χεῖρας οὐκ ἔχων ἐλευθέρας ὑπὸ δεσμῶν πρὸς
ἀναίρεσιν πέτρᾳ προσαράξας τὴν κεφαλὴν ἐξήγαγεν μὲν αὐτὸν τοῦ ζῆν, τῆς δ' ἐξουσίας
τοῦ κτεῖναι πρὸς ἡδονὴν αὐτὸν ἀφείλετο τὸν πολέμιον. λέγουσι δὲ ὡς τραύματος μεγάλου 368
γενομένου φαρμάκοις αὐτὸν ὑποπέμψας ἰατροὺς Ἀντίγονος ὡς ἐπὶ θεραπείᾳ διέφθειρε.
πρὸ μέντοι τοῦ τελείως ἀφεῖναι τὴν ψυχὴν ὁ Φασάηλος ἀκούσας τὸν ἀδελφὸν Ἡρώδην 369
τοὺς πολεμίους διαπεφευγότα σφόδρα τὴν τελευτὴν εὐθύμως ὑπέμεινε καταλιπὼν τὸν
ἀδελφὸν ἐκδικῆσαι τὸν θάνατον αὐτοῦ καὶ τοὺς ἐχθροὺς τιμωρήσασθαι δυνάμενον.

Ἡρώδην δὲ τὸ μέγεθος τῶν περιεστηκότων αὐτὸν κακῶν οὐ κατέπληττε. πρὸς δὲ 370
Μάλχον τὸν Ἀράβων βασιλέα πολλὰ πρόσθεν εὐεργετηθέντα ἀπῄει τὴν ἀμοιβὴν κομιού-
μενος, ὅτε μάλιστα ἐδεῖτο χρημάτων ληψόμενος εἴτε δάνειον εἴτε δωρεάν. οὐ γὰρ εἰδὼς 371
τὰ κατὰ τὸν ἀδελφὸν ἔσπευδε λυτρώσασθαι τῶν πολεμίων αὐτόν. ἐπήγετο δὲ καὶ τὸν
Φασαήλου παῖδα διὰ ταύτην τὴν αἰτίαν ἑπταέτη τυγχάνοντα, παρέξων αὐτὸν ἐνέχυρον
τοῖς Ἄραψιν. ἀγγέλων δὲ αὐτὸν ὑπαντησάντων παρὰ τοῦ Μάλχου, δι' ὧν ἐκέλευσεν αὐτὸν 372
ἀναχωρεῖν· παραγγεῖλαι γὰρ αὐτῷ Πάρθους Ἡρώδην μὴ δέχεσθαι· ταύτῃ δὲ ἐχρῆτο προ-
φάσει ὑπὲρ τοῦ μὴ ἀποδοῦναι τὰ χρέα καὶ τῶν ἐν τέλει παρὰ τοῖς Ἄραψιν εἰς τοῦτο
ἐναγόντων, ὅπως ἀποστερήσωσι τὰς παρακαταθήκας, ἃς παρὰ Ἀντιπάτρου λαβόντες
ἔτυχον· ἀπεκρίνατο αὐτοῖς οὐδὲν ἐνοχλήσων ἀφικνεῖσθαι πρὸς αὐτούς, μόνον δὲ διαλεξό- 373
μενος περὶ τῶν ἀναγκαιοτάτων αὐτῷ. ἔπειτα δόξαν ἀναχωρεῖν ἀπῄει μάλα σωφρόνως 374
τὴν ἐπ' Αἰγύπτου. καὶ παραγενόμενος εἰς Ῥινοκούρουραν ἐκεῖ τὰ περὶ τὸν ἀδελφὸν ἤκουσε.
Μάλχῳ δὲ μεταγνόντι καὶ μεταθέοντι τὸν Ἡρώδην οὐδὲν τούτου περισσότερον ἐγένετο· 375
πορρωτάτω γὰρ ἦν ἤδη σπεύδων τὴν ἐπὶ Πηλουσίου. ἐπεὶ δὲ αὐτὸν ἐλθόντα νῆες αὐτόθι
εἶργον τοῦ ἐπ' Ἀλεξάνδρειαν πλοῦ, τοῖς ἡγεμόσιν ἐντυγχάνει, ὑφ' ὧν κατ' αἰδῶ προπεμφεὶς
εἰς τὴν πόλιν ὑπὸ Κλεοπάτρας κατείχετο. πεῖσαι μέντοι μένειν αὐτὸν οὐκ ἠδυνήθη πρὸς 376
Ῥώμην ἐπειγόμενον χειμῶνος τε ὄντος καὶ τῶν κατὰ τὴν Ἰταλίαν ἐν ταραχῇ καὶ σάλῳ
πολλῷ κειμένων. ἀναχθεὶς οὖν ἐκεῖθεν εἰς Βρεντέσιον κἀκεῖθεν εἰς Ῥώμην ἀφικόμενος 377 378 379

5 Ἀντίγονος μὲν οὖν] Zonaras καὶ Ἀντίγονος μὲν Iosephus καὶ Ἀντίγονος μὲν οὖν Busb , nisi
ειαν
falsus sum. — 7 τοῦτον] τούτων Busb. — 34 ἐπ' ἀλεξάνδρου (corr. man. 2) Busb. — 35 προπεμφθεὶς Iosephus — 35 πρὸς] εἰς Iosephus.

Zonaras I p. 414 Bonn.

πρῶτον μὲν Ἀντωνίῳ φράζει τὰ συμβάντα αὐτῷ κατὰ τὴν Ἰουδαίαν, καὶ πῶς ὁ ἀδελφὸς
αὐτοῦ Φασάηλος ὑπὸ Πάρθων ἀπόλοιτο συλληφθεὶς καὶ Ὑρκανὸς ὑπ' αὐτῶν αἰχμάλωτος
ἔχοιτο, καὶ ὡς Ἀντίγονον καταστήσειαν βασιλέα χρήματα δώσειν ὑποσχόμενον καὶ γυναῖκας,
αἳ τῶν πρώτων κἀκ τοῦ γένους αὐτῶν ἔμελλον ἔσεσθαι, καὶ ὅτι αὐτὰς νυκτὸς ἐκκομίσειε
380 καὶ διαφύγοι τὰς χεῖρας τῶν ἐχθρῶν πολλὰς ὑπομείνας ταλαιπωρίας. εἶτα ἐπικινδυνεύειν
αὐτῷ τοὺς οἰκείους πολιορκουμένους καὶ ὡς πλευσεῖται διὰ χειμῶνος καὶ παντὸς καταφρο-
381 νήσειε δεινοῦ σπεύδων ἐπὶ τὰς ἐλπίδας τὰς παρ' αὐτοῦ καὶ τὴν μόνην βοήθειαν. Ἀντώνιον
δὲ οἶκτος εἰσέρχεται τῆς Ἡρώδου μεταβολῆς τὰ μὲν κατὰ μνήμην τῆς Ἀντιπάτρου ξενίας,
382 τὰ δὲ καὶ ὑπὸ χρημάτων ὧν αὐτῷ δώσειν Ἡρώδης, εἰ γένοιτο βασιλεύς, ὑπέσχητο, πολὺ
μέντοι μᾶλλον διὰ τὸ πρὸς Ἀντίγονον μῖσος πρόθυμος ἦν οἷς Ἡρώδης παρεκάλει συλλαμ-
383 βάνεσθαι. Καῖσαρ μὲν οὖν καὶ διὰ τὰς Ἀντιπάτρου στρατείας, ἃς κατ' Αἴγυπτον αὐτοῦ
τῷ πατρὶ συνδιήνεγκε, καὶ τὴν ξενίαν καὶ τὴν ἐν ἅπασιν εὔνοιαν, καὶ χαριζόμενος δὲ
Ἀντωνίῳ σφόδρα περὶ τὸν Ἡρώδην ἐσπουδακότι, πρὸς τὴν ὧν ἐβούλετο Ἡρώδης συνεργίαν
384 ἑτοιμότερος ἦν. συναγαγόντες δὲ τὴν βουλὴν παραστησάμενοι τὸν Ἡρώδην τάς τε τοῦ
πατρὸς εὐεργεσίας αὐτοῦ διεξῄεσαν καὶ ἣν αὐτὸς πρὸς Ῥωμαίους εἶχεν εὔνοιαν, κατη-
γοροῦντες ἅμα καὶ πολέμιον ἀποφαίνοντες Ἀντίγονον καὶ ἐξ ἄλλων μὲν καὶ ὅτι παρὰ
385 Πάρθων τὴν ἀρχὴν λάβοι Ῥωμαίους ὑπεριδών. τῆς δὲ βουλῆς ἐπὶ τούτῳ παρωξυμμένης
παρελθὼν Ἀντώνιος ἐδίδασκεν αὐτούς, ὡς καὶ πρὸς τὸν κατὰ Πάρθων πόλεμον Ἡρώδην
388 βασιλεύειν συμφέρει. καὶ δόξαν πᾶσι τοῦτο ψηφίζονται. λυθείσης δὲ τῆς βουλῆς μέσον
389 ἔχοντες Ἡρώδην Ἀντώνιος καὶ Καῖσαρ ἐξῄεσαν. καὶ ὁ μὲν οὕτω τὴν βασιλείαν παρα-
λαμβάνει.

390 Τοῦτον δὲ ἅπαντα τὸν χρόνον Ἀντίγονος ἐπολιόρκει τοὺς ἐν Μασάδα, τῶν μὲν ἄλλων
ἐπιτηδείων αὐτοῖς ὑπαρχόντων, μόνου δὲ σπανίζοντος ὕδατος, ὡς διὰ τοῦτο καὶ τὸν ἀδελ-
φὸν τὸν Ἡρώδου Ἰώσηπον σὺν διακοσίοις τῶν οἰκείων ἀποδρᾶναι βουλεύσασθαι πρὸς
391 Ἄραβας. κατέσχε δὲ αὐτὸν ὕσας διὰ τῆς νυκτὸς ὁ θεός· τῶν γὰρ ἐκδοχείων πλησθέντων
ὕδατος οὐκέτι τῆς φυγῆς ἐδεῖτο, ἀλλὰ τεθαρσηκότες ἤδη καὶ πλέον ἢ κατὰ τὴν εὐπορίαν
τοῦ σπανίζοντος, ὡς ἐκ θεοῦ προνοίας ταύτης αὐτοῖς γεγενημένης, ἐπεξιόντες καὶ συμπλε-
κόμενοι τοῖς περὶ τὸν Ἀντίγονον τοῖς μὲν φανερῶς, τοῖς δὲ καὶ λάθρα, πολλοὺς αὐτῶν
392 διέφθειραν. κἀν τούτῳ Βενδίδης ὁ Ῥωμαίων στρατηγὸς πεμφθεὶς ἐκ Συρίας ὥστε Πάρθους
ἀνείργειν, εἰς Ἰουδαίαν παρέβαλε τῷ λόγῳ μὲν Ἰωσήπῳ συμμαχήσων, τὸ δὲ ὅλον ἦν
αὐτῷ στρατήγημα χρήματα παρ' Ἀντιγόνου λαβεῖν· καὶ ἀποχρώντως ἀργυρισάμενος τὸν
393 Ἀντίγονον αὐτὸς μὲν ἀνεχώρησε σὺν τῇ πλείονι δυνάμει, ἵνα δὲ μὴ κατάφωρον γένηται
τὸ λῆμμα, Σίλωνα μετὰ μέρους τινὸς τῶν στρατιωτῶν κατέλιπεν, ὃν ἐθεράπευσεν Ἀντί-
γονος, ὅπως μηδὲν ἐνοχλοίη, προσδοκῶν καὶ πάλιν αὐτῷ Πάρθους ἐπαμύνειν.

394 Ἡρώδης δὲ ἐκ τῆς Ἰταλίας ἤδη πεπλευκὼς εἰς Πτολεμαΐδα καὶ συναγηοχὼς δύναμιν
οὐκ ὀλίγην ξένων καὶ ὁμοφύλων ἤλαυνεν ἐπ' Ἀντίγονον. συνελάμβανον δὲ αὐτῷ Σίλων τὲ
395 καὶ Βενδίδης. Ἡρώδῃ μέντοι προϊόντι ἡ δύναμις ηὔξετο καὶ πᾶσα Γαλιλαία πλὴν ὀλίγων
396 αὐτῷ προσετέθειτο. ὡρμηκότα δὲ αὐτὸν ἐπὶ τοὺς ἐν Μασάδα, σῶσαι τοὺς πολιορκουμένους,

2 ὑπ' αὐτὸν Busb. — 6 πλευσεῖται] πλεύσειέ τε Iosephus. — 26 τεθαρσηκότα Busb. correxi ex Iosepho. — 29 πεμφεὶς man. 1 Busb. uide supra p. 227, 34. — 32 ἀνεχώρισε man. 1 Busb. — 34 i. marg. κζ' Busb.



Zonaras I p. 415 Bonn.

ἐμποδὼν Ἰόπη γίνεται· πολεμίαν γὰρ οὖσαν ἐχρῆν ἐξελεῖν αὐτὴν ὅπως ἂν μηδὲν ὑπο-
λείπηται κατὰ νώτου τοῖς ἐχθροῖς ἔρυμα χωροῦντος ἐπὶ Ἱεροσολύμων. ποιησαμένου καὶ 397
Σίλωνος ταύτην πρόφασιν τῆς ἀπαναστάσεως καὶ τῶν Ἰουδαίων διωκόντων αὐτόν, Ἡρώδης
μετ' ὀλίγου στίφους ἐπέξεισι καὶ τρέπεται μὲν τοὺς Ἰουδαίους, Σίλωνα δὲ σώζει κακῶς
ἀμυνόμενον, ἑλὼν δὲ τὴν Ἰόπην ἔσπευδε ῥυσόμενος τοὺς ἐν Μασάδα οἰκείους. τῶν δὲ 398
ἐπιχωρίων πολλοὶ αὐτῷ προσεχώρουν, ἤθροιστο δὲ δύναμις βαρεῖα. Ἀντίγονος δὲ τὰς 399
παρόδους ἐνέδραις καὶ λόχοις κατελάμβανε καὶ μικρὰ τοὺς πολεμίους ἐκ τούτου ἔβλαπτεν.
Ἡρώδης δ' ἐκ Μασάδας τοὺς οἰκείους ἐπαναλαβὼν ᾔει πρὸς τὰ Ἱεροσόλυμα, συνείπετο δὲ 400
αὐτῷ μετὰ Σίλωνος στρατιωτικόν. στρατοπεδευσαμένου δὲ κατὰ τὸ πρὸς δύσιν τῆς πόλεως 401
κλίμα οἱ κατὰ τοῦτο τεταγμένοι φύλακες ἠκόντιζόν τε καὶ ἐτόξευον εἰς αὐτούς, ἐνίων δὲ 402
καὶ κατὰ στίφος ἐκθεόντων καὶ τοῖς προστεταγμένοις εἰς χεῖρας ἐρχομένων, Ἡρώδης μὲν
πρῶτον ἐκέλευσε κηρύττειν ἐπὶ τὸ τεῖχος, ὡς ἐπ' ἀγαθῷ τὲ παρείη τοῦ δήμου καὶ ἐπὶ
σωτηρίᾳ τῆς πόλεως, μηδὲν μηδὲ τοῖς φανεροῖς τῶν ἐχθρῶν μνησικακήσων. τοῦ δὲ Ἀντι- 403
γόνου πρὸς τὰ ὑπὸ τοῦ Ἡρώδου κηρυχθέντα λέγοντος πρός τε Σίλωνα καὶ τὸ τῶν Ῥωμαίων
στράτευμα, ὡς παρὰ τὴν αὐτῶν δικαιοσύνην Ἡρώδῃ δώσουσι τὴν βασιλείαν ἰδιώτῃ τὲ
ὄντι καὶ Ἰδουμαίῳ, τουτέστιν ἡμιϊουδαίῳ, δέον τοῖς ἐκ τοῦ γένους παρέχειν ὡς ἔθος ἐστὶν
αὐτοῖς. καὶ γὰρ εἰ νυνὶ πρὸς αὐτὸν ἔχουσι χαλεπῶς καὶ τὴν βασιλείαν ὡς λαβόντα παρὰ 404
Πάρθων ἀφελέσθαι διεγνώκασιν, εἶναι πολλοὺς ἐκ τοῦ γένους αὐτοῦ τοὺς ληψομένους κατὰ
τὸν νόμον τὴν βασιλείαν, οἳ μηδὲν ἐξημαρτηκότες πρὸς Ῥωμαίους ἱερεῖς ὄντες οὐκ ἂν
εἰκότα πάσχοιεν τῆς τιμῆς στερούμενοι. ταῦτα πρὸς ἀλλήλους αὐτῶν λεγόντων καὶ προελ- 405
θόντων εἰς βλασφημίας Ἀντίγονος ἀμύνεσθαι τοὺς ἀπὸ τοῦ τείχους ἐπέτρεπεν. οἱ δὲ
τοξεύοντες καὶ πολλῇ κατ' αὐτῶν χρώμενοι προθυμίᾳ ῥαδίως αὐτοὺς ἀπὸ τῶν πύργων
ἐτρέψαντο.

Τότε καὶ Σίλων ἀπεκαλύψατο τὴν δωροδοκίαν· καθῆκε γὰρ τῶν οἰκείων στρατιωτῶν 406
οὐκ ὀλίγους σπάνει τῶν ἐπιτηδείων καταβοᾶν καὶ χρήματα εἰς τροφὰς αἰτεῖν, ἐκίνει τὲ τὸ
στρατόπεδον ὡς ἀναχωρήσων. Ἡρώδης δὲ παρεκάλει μὴ καταλιπεῖν αὐτόν, προνοήσειν γὰρ 407
αὐτὸν τῆς εὐπορίας τῶν ἀναγκαίων. καὶ μετὰ τὴν δέησιν ἐξορμήσας εἰς τὴν χώραν οὐκέτι 408
Σίλωνι τῆς ἀναχωρήσεως πρόφασιν ὑπελείπετο· πλῆθος γὰρ ὅσον οὐδὲ ἤλπισέ τις τῶν
ἐπιτηδείων ἐκόμισε, τοῖς τε περὶ Σαμάρειαν ᾠκειωμένοις πρὸς αὐτὸν ἐπέστελλε σῖτον καὶ
οἶνον καὶ ἔλαιον καὶ βοσκήματα τά τε ἄλλα πάντα κατάγειν εἰς Ἱεριχοῦντα τοῦ μηδὲ τὰς
ἑξῆς ἡμέρας τὴν χορηγίαν τοῖς στρατιώταις ἐπιλιπεῖν. Ἀντίγονος δ' ἔπεμψε κατὰ τὴν χώραν 409
τοὺς λοχήσοντας τοὺς σιτηγοῦντας, οἱ δὲ παρεφύλασσον ἐπὶ τῶν ὀρῶν καθεσθέντες τοὺς
τὰ ἐπιτήδεια κομίζοντας. οὐ μὴν Ἡρώδης ἠρέμει, ἀλλὰ πλῆθος λαβὼν ἐπὶ τὴν Ἱεριχοῦντα 410
παραγίνεται, καὶ τὴν πόλιν ἐκλελειμμένην καταλαβών, πεντακοσίους δὲ τὰ ἄκρα κατειλη-
φότας σὺν γυναιξὶ καὶ γενεαῖς, τούτους μὲν ἀπέλυσε λαβών, Ῥωμαῖοι δὲ εἰσπεσόντες
διήρπασαν τὴν πόλιν. Ἱεριχοῦντος μὲν οὖν φρουρὰν καταλιπὼν ὁ βασιλεὺς ὑπέστρεψε καὶ 411
χειμάσουσαν τὴν Ῥωμαίων στρατιὰν διαφῆκεν. ἔτυχε δὲ καὶ Ἀντίγονος παρὰ Σίλωνος ἀντὶ 412
τῆς δωροδοκίας ὥστε ὑποδέξασθαι τοῦ στρατοῦ μοῖραν ἐν Λύδδοις θεραπεύων Ἀντώνιον.

8 συνείπετο, litt. είπετο i. ras. angustiore m. 1 Busb. συνῆπτο Iosephi codd. — 16 ἔθος] ἔθνος man. 1 Busb. — 22 πολλῇ, ῃ in ras. Busb. — 33 ἠρέμει ex corr. Busb.

Zonaras I p. 415 Bonn.

413 καὶ Ῥωμαῖοι ἐν ἀφθόνοις διῆγον ἀνειμένοι τῶν ὅπλων. Ἡρώδης δὲ οὐκ ἐδόκει μένειν ἐφ'
ἡσυχίας, ἀλλ' ἐπὶ τὴν Ἰδουμαίαν τὸν ἀδελφὸν Ἰώσηπον σὺν δισχιλίοις ὁπλίταις καὶ τετρα-
κοσίοις ἱππεῦσιν ἐξέπεμψεν, αὐτὸς δὲ εἰς Σαμάρειαν παραγενόμενος καὶ καταθέμενος
αὐτόθι τήν τε μητέρα καὶ τοὺς ἄλλους συγγενεῖς ἐπὶ Γαλιλαίαν ᾤχετο ἐξαιρήσων τινὰ τῶν
417 χωρίων ὑπ' Ἀντιγόνου φρουραῖς κατειλημμένα. καὶ προσάγεται μὲν πᾶσαν τὴν Γαλιλαίαν
πλὴν τῶν ἐν σπηλαίοις κατοικούντων, διένειμε δὲ καὶ ἀργύριον καὶ κατ' ἄνδρα δοὺς ἑκατὸν
418 πεντήκοντα δραχμάς, τοῖς δὲ ἡγεμόσι πολὺ πλέον, εἰς τὰ χειμαδία ἔπεμψε. καὶ ἐν τούτῳ
Σίλων ἧκε παρ' αὐτὸν καὶ οἱ ἡγεμόνες τῶν ἐν τοῖς χειμαδίοις Ἀντιγόνου τροφὰς παρέχειν
οὐ θέλοντος· μῆνα γὰρ οὐ πλέον αὐτοὺς ὁ ἀνὴρ ἔθρεψε, διέπεμψε δὲ καὶ πρὸς τοὺς
κύκλῳ κελεύων τὰ κατὰ τὴν χώραν ἀνασκευάσασθαι καὶ εἰς τὰ ὄρη φυγεῖν, ὡς μηδὲν
419 ἔχοντες Ῥωμαῖοι τῶν ἀναγκαίων λιμῷ διαφθαρεῖεν. Ἡρώδης δὲ τὴν μὲν τούτων πρόνοιαν
Φερώρᾳ τῷ νεωτάτῳ τῶν ἀδελφῶν ἐπιτρέπει. ὁ δὲ ταχέως τοὺς στρατιώτας ἐν ἀφθονίᾳ
πολλῇ τῶν ἀναγκαίων ἐποίησε τό τε Ἀλεξάνδριον ἠρημωμένον ἀνακτίζει.

420 Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον Ἀντώνιος μὲν διέτριβεν ἐν Ἀθήναις, κατὰ δὲ Συρίαν Βεν-
δίδης Σίλωνα μεταπεμπόμενος ἐπὶ Πάρθους ἐπέστελε πρῶτον μὲν Ἡρώδῃ συλλαμβάνεσθαι
421 τοῦδε τοῦ πολέμου, ἔπειτα δὲ καὶ ἐπὶ τὸν σφέτερον καλεῖν τοὺς συμμάχους. ὁ δὲ ἐπὶ
τοὺς ἐν τοῖς σπηλαίοις λῃστὰς ἐπειγόμενος Σίλωνα μὲν ἐξέπεμψε Βενδίδῃ, αὐτὸς δὲ ἐπ'
422 ἐκείνους ἐξώρμησεν. ἦν δὲ ἐν ὄρεσι τὰ σπήλαια τελέως ἐξερρωγόσι καὶ κατὰ τὸ μεσαί-
τατον ἀποκρήμνους ἔχοντα παρόδους καὶ πέτραις ὀξείαις ἐμπεριεχόμενα· ἐν δὴ τούτοις
423 μετὰ πάντων τῶν οἰκείων ἐνεφώλευον. ὁ δὲ βασιλεὺς λάρνακας ἐπ' αὐτοὺς πηξάμενος
καθίει ταύτας σιδηραῖς ἁλύσεσιν ἐκδεδεμένας διὰ μηχανῆς ἀπὸ κορυφῆς τοῦ ὄρους, μήτε
κάτωθεν ἀνιέναι διὰ τὴν ὀξύτητα τοῦ ὄρους δυναμένων μήτε ἄνωθεν καθέρπειν ἐπ'
424 αὐτούς. αἱ δὲ λάρνακες πλήρεις ὁπλιτῶν ὑπῆρχον ἅρπας μεγάλας ἐχόντων, αἷς ἔμελλον
ἐπισπώμενοι τοὺς ἀνθεστῶτας τῶν λῃστῶν κτείνειν καταφερομένους. τὴν μέντοι κάθεσιν
τῶν λαρνάκων σφαλερὰν εἶναι συνέβαινε κατὰ βάθους ἀπείρου γενομένην· ἔνδον μέντοι
425 καὶ τὰ ἐπιτήδεια παρῆν αὐτοῖς. ὡς δὲ καθιμήθησαν μὲν αἱ λάρνακες, ἐτόλμα δὲ οὐδεὶς
ἐπελθεῖν ἐπὶ τῶν στομίων, ἀλλ' ὑπὸ δέους ἠρέμουν, μάχαιράν τις περιζωσάμενος τῶν
ὁπλοφόρων καὶ ταῖν χεροῖν ἀμφοτέραιν δραξάμενος ἁλύσεως, ἀφ' ἧς ἤρτητο ἡ λάρναξ,
426 κατῄει ἐπὶ τὰ στόμια δυσχεράνας τὴν τριβὴν τῶν ἐπεξιέναι μὴ τολμώντων. καὶ γενόμενος
κατά τι στόμιον πρῶτον μὲν πέλταις ἀνακόπτει τοὺς πολλοὺς τῶν ἐπὶ τοῦ στομίου, ἔπειτα
ἅρπῃ τοὺς ἀνθεστῶτας ἐπισπασάμενος ὠθεῖ κατὰ τοῦ κρημνοῦ καὶ τοῖς ἔνδον ἐπεισελθὼν
427 ἀποσφάττει πολλούς. φόβος τὲ εἶχε τοὺς ἄλλους τῆς οἰμωγῆς ἀκούοντας καὶ περὶ τῆς
σωτηρίας ἀπόγνωσις. τὸ μέντοι πᾶν ἔργον ἐπέσχεν ἐπεξελθοῦσι. καὶ πολλοὶ συγχωρή-
428 σαντος τοῦ βασιλέως παρέδοσαν σφᾶς ὑπηκόους εἶναι. τῷ δὲ αὐτῷ τρόπῳ καὶ κατὰ τὴν
ἐπιοῦσαν ἐχρήσαντο τῇ προσβολῇ, μᾶλλον ἔτι τῶν ἐν τοῖς πλέγμασιν ἐπεξιόντων αὐτοῖς
429 καὶ κατὰ θύρας μαχομένων πῦρ τὲ ἐνιέντων. ἐξαφθέντων τὲ τῶν ἄντρων, πολλὴ γὰρ ἐν
αὐτοῖς ὕλη, πρεσβύτης τίς ἀπειλημμένος ἔνδον σὺν ἑπτὰ τέκνοις καὶ γυναικί, δεομένων
τούτων ἐᾶσαι σφᾶς ὑπεξελθεῖν τοὺς πολεμίους, στὰς ἐπὶ τοῦ στομίου τὸν ἀεὶ πρώτως

15 ἐπέστελλε ex corr. Busb. — 35 ἐπιοῦσαν] ἐπιοῦσαντο, το expunxit man. 1 Busb. — 38 τοὺς] πρὸς τοὺς Iosephus.



Zonaras I p. 416 Bonn.

ἐξιόντα τῶν παίδων ἀπέσφαττε καὶ πάντας διεχρήσατο, ἔπειτα δὲ καὶ τὴν γυναῖκα, καὶ
ῥίψας κατὰ τοῦ κρημνοῦ τοῖς νεκροῖς ἐπικατέβαλεν ἑαυτὸν θάνατον πρὸ δουλείας ὑπο-
μένων. πολλὰ δὲ πρῶτον ὠνείδισε τὸν Ἡρώδην καὶ τὸ τοῦ βασιλέως, ἦν γὰρ ἄποπτα 430
αὐτῷ τὰ γινόμενα, δεξιάν τε προτείνοντος καὶ πᾶσαν ἄδειαν. τὰ μὲν οὖν σπήλαια πάντα
κεχείρωτο. καταστήσας δὲ ὁ βασιλεὺς τοῖς αὐτόθι στρατηγὸν Πτολεμαῖον εἰς τὴν Σαμάρειαν 431
ᾤχετο σὺν ἱππεῦσιν ἑξακοσίοις ὁπλίταις δὲ τρισχιλίοις ὡς μάχῃ κριθησόμενος πρὸς Ἀντί-
γονον. οὐ μὴν τῷ Πτολεμαίῳ προυχώρησε τὰ κατὰ τὴν στρατείαν, ἀλλ' οἱ καὶ πρότερον 432
τὴν Γαλιλαίαν ταράξαντες ἐπελθόντες αὐτὸν διεχρήσαντο καὶ τοῦτο δράσαντες συμφεύ-
γουσιν εἰς τὰ ἕλη καὶ τὰ δύσβατα τῶν χωρίων ἄγοντές τε καὶ διαρπάζοντες τὴν αὐτόθι
πᾶσαν. τιμωρεῖται δὲ καὶ τούτους Ἡρώδης ἐπανελθών· τοὺς μὲν γὰρ ἀναιρεῖ τῶν ἀπο- 433
στατῶν, τοὺς δὲ ἀναφυγόντας εἰς ἐρυμνὰ χωρία πολιορκίᾳ παραστησάμενος αὐτοὺς τὲ
ἀπέκτεινε καὶ τὰ ἐρύματα κατέσκαψεν. ἐζημίωσε δὲ παύσας οὕτω τὴν νεωτεροποιίαν
καὶ τὰς πόλεις ἑκατὸν τάλαντα.

Ἐν δὲ τῷ μεταξὺ Πακόρου πεσόντος ἐν μάχῃ καὶ τῶν Πάρθων τραπέντων πέμπει 434
βοηθὸν ὁ Βενδίδης Ἡρώδῃ Μαχαιρᾶν σὺν δυσὶ τάγμασι καὶ χιλίοις ἱππεῦσιν ἐπισπεύ-
δοντος Ἀντωνίου. Μαχαιρᾶς μὲν οὖν Ἀντιγόνου καλοῦντος αὐτὸν παρὰ τὴν Ἡρώδου 435
γνώμην χρήμασι διεφθαρμένος ἀπῄει ὡς κατασκεψόμενος αὐτοῦ τὰ πράγματα. τὴν δὲ
διάνοιαν ὑπειδόμενος αὐτοῦ τὴν τῆς ἀφίξεως Ἀντίγονος οὐδὲ προσεδέξατο, ἀλλὰ σφεν-
δόναις βάλλων αὐτὸν ἀνεῖργεν. αἰσθόμενος δὲ τὰ βέλτιστα Ἡρώδην αὐτῷ παραινοῦντα, 436
ἀνεχώρει μὲν εἰς Ἀμμαοῦν πόλιν, οἷς δὲ κατὰ τὴν ὁδὸν Ἰουδαίοις περιετύγχανε πάντας
ἀπέσφαττεν ἐχθροὺς τὲ καὶ φίλους ὀργιζόμενος ὑπὲρ ὧν πεπόνθει. παροξυνθεὶς δὲ ἐπὶ 437
τούτοις ὁ βασιλεὺς πρὸς Ἀντώνιον ἔγνω περὶ τούτων ἀφικέσθαι· δεῖσθαι γὰρ οὐ τοιούτων
συμμάχων, οἳ βλάψουσι μᾶλλον αὐτὸν ἢ τοὺς πολεμίους· ἐξαρκεῖν δὲ ἑαυτῷ πρὸς τὴν
Ἀντιγόνου καθαίρεσιν. παρακολουθῶν δὲ ὁ Μαχαιρᾶς ἐδεῖτο μένειν· εἰ δὲ οὕτως ὥρμηκεν, 438
ἀλλὰ τόν γε ἀδελφὸν αὐτοῦ Ἰώσηπον παρακαθιστάνειν σφίσι προσπολεμοῦσιν Ἀντιγόνῳ.
καὶ διαλλάττεται μὲν πολλὰ τοῦ Μαχαιρᾶ δεηθέντος, καταλιπὼν δὲ τὸν Ἰώσηπον αὐτόθι
σὺν στρατῷ παρῄνεσε μὴ ἀποκινδυνεύειν μηδὲ τῷ Μαχαιρᾷ διαφέρεσθαι. αὐτὸς δὲ πρὸς 439
Ἀντώνιον ἔσπευδεν· ἐτύγχανε γὰρ πολιορκῶν Σαμόσατα τὸ πρὸς Εὐφράτην χωρίον. παρα- 440
γενόμενος δὲ εἰς Ἀντιόχειαν καὶ πολλοῖς ἐπιτυχὼν ἠθροισμένοις καὶ πρὸς Ἀντώνιον σπου-
δὴν βαδίζειν ἔχουσιν, ὑπὸ δέους δὲ διὰ τὸ κατὰ τὰς ὁδοὺς ἐπιτίθεσθαι τοὺς βαρβάρους
καὶ πολλοὺς ἀναιρεῖν οὐ τολμῶντας ἐξορμᾶν, παραθαρσύνας αὐτὸς ἡγεμὼν γίνεται τῆς
ὁδοῦ. κατὰ δὲ σταθμὸν δεύτερον ἐλόχα μὲν αὐτόθι τῶν βαρβάρων ἐνέδρα τοὺς φοι- 441
τῶντας πρὸς Ἀντώνιον, δρυμώνων δὲ τὰς εἰσβολὰς τὰς εἰς τὰ πεδία διαλαμβανόντων
προλοχίζουσιν αὐτόθι τῶν ἱππέων οὐκ ὀλίγους ἠρεμήσοντας ἕως ἂν εἰς τὸ ἱππήλατον οἱ
διεξιόντες ἔλθοιεν. ὡς δὲ οἱ πρῶτοι διεξῆλθον, ὠπισθοφυλάκει μὲν Ἡρώδης, προσπίπτουσι 442
δὲ οἱ ἐκ τῆς ἐνέδρας ὄντες εἰς πεντακοσίους, καὶ τρεψαμένων τοὺς πρώτους ἐπιδραμὼν ὁ
βασιλεὺς τῇ ῥώμῃ τῶν περὶ αὐτὸν παραχρῆμα ἀνακόπτει τοὺς πολεμίους, ἐπεγείρει δὲ τὸ
τῶν οἰκείων φρόνημα καὶ τῶν πάλαι φευγόντων ἐξ ὑποστροφῆς μαχομένων ἐκτείνοντο
πανταχόθεν οἱ βάρβαροι. ἐπέκειτο δὲ ὁ βαρσιλεὺς ἀναιρῶν καὶ τὰ διηρπασμένα, πολλὰ δὲ 443

3 καὶ τὸ] καί τοι Iosephus.

Zonaras I p. 416 Bonn.

444 ἦν σκευοφόρα καὶ ἀνδράποδα, πάντα ἀνασωσάμενος προῄει. καὶ πλειόνων αὐτοῖς ἐπιτι-
θεμένων τῶν ἐν τοῖς δρυμῶσιν, οἳ πλησίον τῆς εἰς τὸ πεδίον ἐκδρομῆς ἦσαν, καὶ τούτοις
συμμίξας αὐτὸς μετὰ στίφους καρτεροῦ τρέπεται καὶ πολλοὺς αὐτῶν ἀποκτείνας ἀδεᾶ
445 τοῖς ἑπομένοις ὁδὸν παρεῖχεν· οἱ δὲ σωτῆρα καὶ προστάτην αὐτὸν ἀπεκάλουν. ἐπεὶ δὲ
πλησίον τῶν Σαμοσάτων γεγόνει, πέμπει τὸ στράτευμα ὑπαντησόμενον Ἀντώνιος σὺν τῷ
οἰκείῳ κόσμῳ τιμὴν Ἡρώδῃ ταύτην ἀπονέμων· τὴν γὰρ βαρβάρων ἠκηκόει κατ᾽ αὐτῶν
446 ἐπίθεσιν. καὶ δὴ παρόντα τὲ εἶδεν ἀσμένως καὶ τῆς ἀρετῆς ἐθαύμαζεν, αὐτός τὲ περι-
447 λαβὼν Ἀντώνιον ὡς εἶδεν ἠσπάζετο. Ἀντιόχου δὲ μετ᾽ οὐ πολὺ τὸ ἔρυμα παραδόντος καὶ
διὰ τοῦτο παυσαμένου τοῦ πολέμου Σωσίῳ μὲν Ἀντώνιος παραδίδωσι, παρακελευσάμενος
δὲ Ἡρώδῃ συμμαχεῖν αὐτὸς ἐπ᾽ Αἰγύπτου ἐχώρει. καὶ Σώσιος μὲν δύο τάγματα ἐπι-
κουρικὰ Ἡρώδῃ προὔπεμψεν εἰς τὴν Ἰουδαίαν, αὐτὸς δὲ μετὰ τοῦ πλείονος στρατοῦ
ἠκολούθει.

448 Ἔτυχε δὲ ἤδη κατὰ τὴν Ἰουδαίαν τεθνεὼς Ἰώσηπος τρόπῳ τοιούτῳ· λήθην μὲν ὧν
αὐτῷ παρήγγειλεν ὁ ἀδελφὸς λαμβάνει, στρατοπεδευσάμενος δὲ ἀνὰ τὰ ὄρη, πέντε γὰρ
αὐτῷ σπείρας Μαχαιρᾶ δόντος ἐπὶ Ἱεριχοῦντος ἠπείγετο βουλόμενος ἐκθερίσαι τὸν σῖτον
449 αὐτῶν, καὶ νεοσυλλέκτου τοῦ Ῥωμαίων στρατεύματος ὄντος καὶ πολέμων ἀπείρως ἔχοντος,
ἐπιτιθεμένων αὐτόθι τῶν πολεμίων, ἀποληφθεὶς ἐν δυσχωρίαις αὐτός τὲ θνήσκει γενναίως
450 μαχόμενος καὶ τὸ στράτευμα πᾶν ἀπέβαλε. κρατήσας δὲ τῶν νεκρῶν Ἀντίγονος ἀποτέμνει
τὴν κεφαλὴν Ἰωσήπου πεντήκοντα ταλάντων αὐτὴν ῥυομένου Φερώρα τοῦ ἀδελφοῦ. καὶ
μετὰ τοῦτο ἀποστάντες Γαλιλαῖοι τῶν παρὰ σφίσι δυνατῶν τοὺς τὰ Ἡρώδου φρονοῦντας
451 ἐν τῇ λίμνῃ κατεπόντωσαν, καὶ τῆς Ἰουδαίας πολλὰ ἐνεωτερίσθη. παρῆσαν δὲ ἄγγελοι
τῶν πεπραγμένων πρὸς τὸν βασιλέα καὶ ἐν Δάφνῃ τῆς Ἀντιοχείας ἐδήλωσαν αὐτῷ τὰ
κατὰ τὸν ἀδελφὸν προσδεχομένῳ καὶ αὐτῷ διά τινας ὀνείρων ὄψεις τρανῶς προφαινούσας
452 τὸν τοῦ ἀδελφοῦ θάνατον. ἐπειχθεὶς οὖν κατὰ τὴν πορείαν ὡς κατὰ Λίβανον τὸ ὄρος
γίνεται, ὀκτακοσίους μὲν τῶν αὐτόθι προσλαμβάνει, ἔχων δὲ καὶ Ῥωμαϊκὸν ἓν τάγμα εἰς
453 Πτολεμαΐδα παραγίνεται, κἀκεῖθεν προῄει διὰ τῆς Γαλιλαίας. ὑπήντων δὲ καὶ οἱ πολέμιοι
καὶ κρατηθέντες τῇ μάχῃ κατεκλείσθησαν εἴς τι χωρίον. προσβολὰς δὲ τοὐντεῦθεν ἐποι-
εῖτο, καὶ πολλοῦ χειμῶνος καταρραγέντος οὐδὲν ποιεῖν δυνάμενος ἀπάγει τὴν στρατιὰν εἰς
454 τὰς πλησίον κώμας. ἐλθόντος δὲ αὐτῷ παρ᾽ Ἀντωνίου καὶ δευτέρου τάγματος ἔσπευδεν
ἐπὶ Ἱεριχοῦντα τιμωρήσασθαι κατὰ νοῦν ἔχων αὐτοὺς ὑπὲρ τοῦ ἀδελφοῦ. ἐπεὶ δὲ κατέ-
455 ζευξεν, ἑστιᾷ μὲν τοὺς ἐν τέλει, μετὰ δὲ τὴν συνουσίαν παρῆλθεν εἰς τὸ δωμάτιον. καὶ
πίπτει μὲν ἡ στέγη τοῦ οἰκήματος, οὐδένα μέντοι διέφθειρεν, ὥστε πάντας πιστεῦσαι τὸν
456 Ἡρώδην εἶναι θεοφιλῆ μέγαν οὕτω διαφυγόντα κίνδυνον. τῇ δ᾽ ὑστεραίᾳ τῶν πολεμίων
ἑξακισχίλιοι ἐξ ἄκρων κατιόντες τῶν ὀρῶν ἐφόβουν τοὺς Ῥωμαίους. ἔνθά τις καὶ τὸν
457 βασιλέα πέλτῃ παρὰ τὴν λαπάραν ἔβαλεν. Ἀντίγονος δὲ ἐπὶ τὴν Σαμάρειαν πέμπει
στρατηγὸν Πάππον ὄνομα σὺν δυνάμει τινὶ βουλόμενος παρασχεῖν τοῖς πολεμίοις δόξαν
πολεμοῦντος ἐκ περιουσίας. ἀλλ᾽ ὁ μὲν Μαχαιρᾷ τῷ στρατηγῷ προσκάθηται· Ἡρώδης δὲ
πέντε πόλεις καταλαβὼν τοὺς καταληφθέντας περὶ δισχιλίους ὄντας ἐφόνευσε καὶ αὐτὰς
458 τὰς πόλεις ἐμπρήσας ἐπανῆλθεν ἐπὶ τὸν Πάππον· καὶ ἐκ τῆς Ἱεριχοῦς καὶ τῆς ἄλλης

29 παρ᾽ Ἀντωνίῳ Busb. — 32 μέντοι] δὲ Iosephus. — 38 καταλειφθέντας man. 2 Busb.



Zonaras I p. 417 Bonn.

Ἰδουμαίας πολλῶν αὐτῷ προσρεόντων συμβαλὼν τοῖς πολεμίοις κρατεῖ τῇ μάχῃ καὶ εἵπετο
κτείνων φεύγουσιν εἰς τὴν κώμην. πεπληρωμένων δὲ τῶν οἰκήσεων ὁπλιτῶν καὶ πολλῶν ἀναφευ- 459
γόντων ἐπὶ τὰς στέγας κρατεῖ τούτων, καὶ τοὺς ὀρόφους τῶν οἴκων ἀνασκάπτων ἔμπλεα
τὰ κάτω στρατιωτῶν ἑώρα ἀθρόων ἀπειλημμένων. τούτους μὲν οὖν πέτροις ἄνωθεν 460
βάλλοντες σωρηδὸν ἐπ᾽ ἀλλήλοις ἀνῄρουν. τοῦτο τὸ ἔργον μάλιστα τὰ φρονήματα τῶν 461
πολεμίων ἔκλασε, καὶ εἰ μὴ χειμὼν ἐπέσχε βαθύς, ἧκεν ἂν ἐπὶ Ἱεροσόλυμα ἡ βασιλέως
στρατιὰ θαρροῦσα καὶ τὸ πᾶν ἦν εἰργασμένη· καὶ γὰρ Ἀντίγονος ἤδη τὴν παντελῆ φυγὴν
ἐσκόπει καὶ ἀπανάστασιν ἐκ τῆς πόλεως. τότε μὲν οὖν ὁ βασιλεύς, ὀψία γὰρ ἦν, δειπνο- 462
ποιεῖσθαι κελεύει τοὺς στρατιώτας, αὐτὸς δὲ εἰσελθὼν εἴς τι δωμάτιον περὶ λουτρὸν ἦν.
ἔνθα καὶ κίνδυνον μέγιστον κατὰ θεοῦ διέφυγε πρόνοιαν· γυμνοῦ γὰρ ὄντος αὐτοῦ 463
καὶ μετὰ παιδὸς ἑνὸς λουομένου ἐν τῷ ἐντὸς οἰκήματι τῶν πολεμίων τινὲς ὡπλισμένοι
συμπεφευγότες αὐτόθι διὰ φόβον ἦσαν, καὶ μεταξὺ λουομένου ὁ πρῶτος ἐπεξέρχεται ξίφος
ἔχων γυμνὸν καὶ διὰ θυρίδων χωρεῖ, καὶ μετ᾽ αὐτὸν δεύτερος καὶ τρίτος ὁμοίως ὡπλισ-
μένοι, οὐδὲν βλάψαντες τὸν βασιλέα ὑπ᾽ ἐκπλήξεως, ἀγαπῶντες δὲ τὸ μηδὲν αὐτοὶ πα-
θόντες εἰς τὸ πρόσθεν διεκπεσεῖν. τῇ δὲ ὑστεραίᾳ τὴν μὲν Πάππου κεφαλήν, ἀνῄρητο γάρ, 464
ἀποκόψας Φερώρᾳ ἔπεμψε ποινὴν ἀνθ᾽ ὧν ὁ ἀδελφὸς αὐτοῦ· οὗτος γὰρ ἦν αὐτόχειρ
ἐκείνου γενόμενος. λήξαντος δὲ τοῦ χειμῶνος ἐγγὺς εἰς Ἱεροσόλυμα ἔρχεται καὶ πλησίον 465
στρατοπεδεύεται τῆς πόλεως· τοῦτο δὲ αὐτῷ τρίτον ἔτος ἦν ἐξ οὗ βασιλεὺς ἀποδέδεικτο.
πλησίον δὲ τοῦ τείχους ἐλθὼν κατὰ τὸ ἐπιμαχώτατον πρὸ τοῦ ἱεροῦ στρατοπεδεύεται, 466
προσβάλλειν ἐγνωκὼς ὡς καὶ πρώην ποτὲ Πομπήϊος. τρισὶ δὲ διαλαβὼν χώμασι τὸν
τόπον πύργους ἀνιστᾷ πολλῇ δὲ χειρὶ πρὸς τὸ ἔργον χρώμενος καὶ τέμνων τὴν πέριξ ὕλην.
παρακαταστήσας τὲ τοῖς ἔργοις τοὺς ἐπιτηδείους, ἱδρυμένης ἔτι τῆς στρατιᾶς αὐτὸς εἰς 467
Σαμάρειαν ἐπὶ τὸν γάμον ᾤχετο ἀξόμενος τὴν Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου θυγατέρα·
ταύτην γὰρ ἦν ἐγγεγυημένος.

Μετὰ δὴ τοὺς γάμους ἦλθε μὲν διὰ Φοινίκης Σόσσιος προεκπέμψας τὴν δύναμιν, 468
ἦλθε δὲ καὶ ὁ στρατός. παρεγένετο δὲ καὶ ὁ βασιλεὺς ἐκ τῆς Σαμαρείτιδος οὐκ ὀλίγον
πρὸς τῷ πάλαι στρατὸν ἄγων. πάντες δὲ πρὸς τὸ Ἱεροσολύμων ἠθροίζοντο τεῖχος, καὶ 469
διεκάθηντο πρὸς τῷ βορείῳ τείχει τῆς πόλεως. δύο δὲ ἡγεμόνες ἦσαν, Σόσσιος καὶ Ἡρώδης.
μετὰ δὲ πολλῆς προθυμίας καὶ ἔριδος ἅτε σύμπαντος ἠθροισμένου τοῦ πλήθους οἱ Ἰου- 470
δαῖοι τοῖς περὶ τὸν Ἡρώδην ἀντεπολέμουν καταληφθέντες ἐντὸς τοῦ τείχους, πολλὰ τὲ
ἐπεφήμιζον περὶ τὸ ἱερὸν καὶ πολλὰ ἐπ᾽ εὐθυμίᾳ τοῦ δήμου, ὡς ῥυσομένου τῶν κινδύνων
αὐτοὺς τοῦ θεοῦ. τά τε ἐκτὸς τῆς πόλεως ἀπεσκευάσαντο, ὡς μηδὲν ὅσα τροφὴ δύναιτο 471
εἶναι ὑπολιπεῖν ἢ ἀνθρώποις ἢ ὑποζυγίοις, λῃστείαις τὲ λάθρα χρώμενοι ἀπορίᾳ παρέσχον.
πρὸς ταῦτα δὲ Ἡρώδης πρὸς μὲν τὰς λῃστείας ἐν τοῖς ἐπικαιροτάτοις τόποις παρελόχιζε, 472
πρὸς δὲ τὰ ἐπιτήδεια πέμπων ὁπλιτικὰ τέλη πόρρωθεν ἀγορὰν συνεκόμιζεν, ὡς ὀλίγου
χρόνου πολλὴν ἀφθονίαν αὐτοῖς γενέσθαι τῶν ἀναγκαίων. ἤρτο δὲ συχνῶς ἤδη πολλῆς 473
χειρὸς ἐργαζομένης καὶ τὰ τρία χώματα εὐπετῶς· θέρος τε γὰρ ἦν καὶ οὐδὲν ἐμποδὼν

4 οὖν] ἄνωθεν οὖν Busb. — 10 μέγιστον] αὐτῷ μέγιστον Busb. me teste; sed αὐτῷ abesse puto. — 16 αὐτοῦ] αὐτοῦ πάθοι Iosephus. — 17 εἰς Ἱεροσόλυμα] Ἱεροσολύμων Iosephus. — 21 δὲ] τε Iosephus. — 22 εἰς σαμάρειαν in ras., σα supra scriptum Busb. — 25 in marg. κη′ Busb. — 30 καταλειφθέντες man. 2 Busb. — 32 ἀπορίαν Iosephi codd. plurimi.

Zonaras I p. 418 Bonn.

πρὸς τὴν ἀνάστασιν οὔτε ἀπὸ τοῦ ἀέρος οὔτε ἀπὸ τῶν ἐργαζομένων, τά τε μηχανήματα
474 προσάγοντες κατέσειον τὸ τεῖχος καὶ πάσαις ἐχρῶντο πείραις. οὐ μὴν ἐξέπληττον τοὺς
ἔνδον, ἀλλὰ ἀντετεχνῶντο κἀκεῖνοι ἐπεκθέοντές τε τὰ μὲν ἡμίεργα ἐνεπίμπρασαν τὰ δὲ
ἐξεργασμένα, εἴς τε χεῖρας ἰόντες οὐδὲν κακίους Ῥωμαίων ἦσαν, ἐπιστήμῃ δὲ ἐλείποντο.
475 καὶ ἀντετείχιζον ἐρειπομένων τῶν πρώην οἰκοδομημάτων, ὑπὸ γῆν τὲ ἀπαντῶντες ἐν ταῖς
μεταλλεύσεσι διεμάχοντο, ἀπονοίᾳ δὲ τὸ πλέον ἢ προμηθείᾳ χρώμενοι προσελιπάρουν τῷ
πολέμῳ εἰς τοὔσχατον καὶ λιμῷ ταλαιπωρούμενοι καὶ σπάνει τῶν ἐπιτηδείων· τὸν γὰρ
476 ἑβδοματικὸν ἐνιαυτὸν συνέβη κατ᾽ αὐτὸν εἶναι. ἀναβαίνουσι δὲ ἐπὶ τὸ τεῖχος πρῶτον μὲν
λογάδες εἴκοσι, ἔπειτα ἑκατοντάρχαι Σοσσίου· ᾑρέθη γὰρ τὸ μὲν πρῶτον τεῖχος ἡμέραις
τεσσαράκοντα, τὸ δὲ δεύτερον πεντεκαίδεκα· καί τινες τῶν περὶ τὸ ἱερὸν ἐνεπρήσθησαν
στοῶν, ἃς Ἡρώδης Ἀντίγονον ἐμπρῆσαι διέβαλλε, μῖσος αὐτῷ πραγματευόμενος παρὰ τῶν
477 Ἰουδαίων γενέσθαι. ᾑρημένου δὲ τοῦ ἔξωθεν ἱεροῦ καὶ τῆς κάτω πόλεως εἰς τὸ ἔσωθεν
ἱερὸν καὶ τὴν ἄνω πόλιν Ἰουδαῖοι συνέφυγον, δείσαντές τε μὴ διακωλύσωσιν αὐτοὺς οἱ
Ῥωμαῖοι τὰς καθημερινὰς θυσίας ἐπιτελεῖν τῷ θεῷ, πρεσβεύονται ἐπιτρέψαι παρακα-
λοῦντες θύματα αὐτοῖς μόνον εἰσκομίζεσθαι· ὁ δὲ ὡς ἐνδωσόντων αὐτῶν συνεχώρει ταῦτα.
478 καὶ ἐπεὶ μηδὲν ἑώρα γινόμενον παρ᾽ αὐτῶν ὧν ὑπενόει, προσβαλὼν κατὰ κράτος εἷλε τὴν
479 480 πόλιν. καὶ πάντα εὐθὺς ἦν φόνων ἀνάπλεα· τὸ δὲ πᾶν πλῆθος ἐσφάττετο ἔν τε τοῖς
στενωποῖς καὶ κατὰ τὰς οἰκίας συνωθούμενον καὶ τῷ ναῷ προσφεῦγον, ἦν τε οὔτε νηπίων
οὔτε γήρως ἔλεος οὔτε γυναικῶν φειδώ, ἀλλὰ καὶ τοῦ βασιλέως φείδεσθαι παρακαλοῦντος
481 οὐδεὶς ἐκράτησε τῆς δεξιᾶς. ἔνθα καὶ Ἀντίγονος μήτε τῆς πάλαι μήτε τῆς τότε τύχης
ἔννοιαν λαβὼν κάτεισι μὲν ἀπὸ τῆς βάρεως, προσπίπτει δὲ τοῖς Σοσσίου ποσί, κἀκεῖνος
μηδὲν αὐτὸν οἰκτείρας πρὸς τὴν μεταβολὴν ἐπεκρότησε μὲν ἀκρατῶς καὶ Ἀντιγόνην ἐκά-
λεσεν, οὐ μὴν ὡς γυναῖκά γε φρουρᾶς ἐλεύθερον ἀφῆκεν, ἀλλ᾽ ὁ μὲν δεθεὶς ἐφυλάττετο.
482 πρόνοια δὲ ἦν Ἡρώδῃ κρατοῦντι τῶν πολεμίων κρατῆσαι καὶ τῶν ἀλλοφύλων συμμάχων·
483 ὥρμητο γὰρ ξενικὸν πλῆθος ἐπὶ θέαν τοῦ ἱεροῦ καὶ τῶν κατὰ τὸν ναὸν ἁγίων. ὁ μὲν
οὖν βασιλεὺς τοὺς μὲν παρακαλῶν τοὺς δὲ ἀπειλῶν ἔστι δὲ οὓς καὶ τοῖς ὅπλοις ἀνέστελλεν,
484 ἥττης χαλεπωτέραν ἡγούμενος τὴν νίκην, εἴ τι τῶν ἀθεάτων παρ᾽ αὐτῶν ὀφθείη. διεκώλυέ
τε καὶ τὰς κατὰ πόλιν ἁρπαγάς, πολλὰ διατεινάμενος πρὸς Σόσσιον, εἰ χρημάτων τὲ καὶ
485 ἀνδρῶν τὴν πόλιν κενώσαντες Ῥωμαῖοι καταλείψουσιν αὐτὸν ἐρημίας βασιλέα. τοῦ δὲ
ἀντὶ τῆς πολιορκίας τὰς ἁρπαγὰς δικαίως τοῖς στρατιώταις ἐπιτρέπειν φαμένου αὐτὸς ἔφη
486 διανέμειν ἐκ τῶν ἰδίων χρημάτων τοὺς μισθοὺς ἑκάστοις. οὕτω τὲ τὴν λοιπὴν ἐξωνησά-
μενος πόλιν τὰς ὑποσχέσεις ἐπλήρωσε· λαμπρῶς μὲν γὰρ ἕκαστον στρατιώτην, ἀναλόγως
487 δὲ τοὺς ἡγεμόνας, βασιλικώτατα δὲ αὐτὸν ἐδωρήσατο Σώσιον. τοῦτο τὸ πάθος συνέβη
τοῖς Ἱεροσολύμοις τῷ τρίτῳ μηνὶ τῇ ἑορτῇ τῆς νηστείας, ὥσπερ ἐκ περιτροπῆς γενομένης
488 ἐπὶ Πομπηΐου τοῖς Ἰουδαίοις συμφορᾶς· καὶ γὰρ ὑπ᾽ ἐκείνων τῇ αὐτῇ ἑάλωσαν ἡμέρᾳ πρὸ
εἰκοσιεπτὰ ἐτῶν. Σόσσιος δὲ χρυσοῦν ἀναθεὶς τῷ θεῷ στέφανον ἀνέζευξεν ἀπὸ Ἱεροσολύμων
489 Ἀντίγονον ἄγων δεσμώτην Ἀντωνίῳ. δείσας δὲ Ἡρώδης μὴ φυλαχθεὶς Ἀντίγονος καὶ κομισθεὶς
εἰς Ῥώμην δικαιολογήσηται πρὸς τὴν σύγκλητον, ἐπιδεικνὺς αὐτὸν μὲν ἐκ βασιλέων, Ἡρώδην δὲ

4 ἐξειργασμένα man. 2 Busb. — 5 πρώτην] πρώτων Iosephus. — 17 ἐσφάττετο ex εὐφάττετο corr. m. 2 Busb. — 22 ἐπεκρότησεν ex ἐπεκράτησεν corr. Busb. — 32 ἀναλόγως, ἀν i. ras. Busb. — 33 σόσσιον ex corr. Busb. — 38 μὲν ἐκ ex μὲν corr. Busb.



Zonaras I p. 418 Bonn.

ἰδιώτην, καὶ ὅτι προσῆκεν αὐτοῦ βασιλεύειν τοὺς παῖδας, εἰ καὶ αὐτὸς εἰς Ῥωμαίους ἐξήμαρτε,
ταῦτα φοβούμενος πολλοῖς πείθει χρήμασι τὸν Ἀντώνιον ἀνελεῖν Ἀντίγονον. οὗ γενομένου 490
τοῦ δέους μὲν Ἡρώδης ἀπαλάσσεται, παύεται δὲ οὕτως ἡ τοῦ Ἀσσαμωναίου ἀρχὴ μετὰ
ἔτη ἑκατὸν εἰκοσιέξ. οἶκος λαμπρὸς οὗτος ἦν καὶ διάσημος γένους τὲ ἕνεκα καὶ τῆς ἱερᾶς
τιμῆς ὧν τὲ ὑπὲρ τοῦ ἔθνους οἱ γονεῖς αὐτοῦ διεπράξαντο. ἀλλ᾽ οὗτοι μὲν διὰ τὴν πρὸς 491
ἀλλήλους στάσιν τὴν ἀρχὴν ἀπέβαλον, μετέβη δὲ εἰς Ἡρώδην τὸν Ἀντιπάτρου οἰκίας ὄντα
δημοτικῆς καὶ γένους ἰδιωτικοῦ καὶ ὑπακούοντος τοῖς βασιλεῦσι. καὶ τοῦτο μὲν τὸ τέλος
τῆς Ἀσαμωναίων γενεᾶς παρειλήφαμεν.

## Φλαυίου Ἰωσήπου Ἰουδαϊκῆς ἀρχαιολογίας λόγος ιε΄.

Ἐπειδὴ δὲ τῆς ὅλης Ἰουδαίας ἐνεχειρίσθη τὴν ἀρχὴν Ἡρώδης, τοῦ κατὰ τὴν πόλιν 2
πλήθους ὅσοι μὲν ἦσαν ἰδιωτεύοντος ἔτι τὰ ἐκείνου φρονοῦντες ἐν προαγωγῇ τούτους
ἐποιεῖτο, τοὺς δὲ τὰ τῶν ἐναντίων ἑλομένους οὐκ ἐπέλιπε τιμωρούμενος καὶ κολάζων καθ-
εκάστην. ἐτιμῶντο δὲ μάλιστα παρ᾽ αὐτοῦ Πολίων ὁ Φαρισαῖος καὶ Σαμαίας ὁ τούτου 3
μαθητής· πολιορκουμένων γὰρ τῶν Ἱεροσολύμων οὗτοι συνεβούλευον τοῖς πολίταις δέξασθαι
τὸν Ἡρώδην, ἀνθ᾽ ὧν καὶ τὰς ἀμοιβὰς ἀπελάμβανον. ὁ δὲ Σαμαίας οὗτος καὶ κρινομένου 4
Ἡρώδου πρώην τὴν ἐπὶ θανάτῳ προεῖπεν ὀνειδίζων Ὑρκανῷ καὶ τοῖς δικάζουσιν, ὡς περι-
σωθεὶς Ἡρώδης ἅπαντας αὐτοὺς μετελεύσεται· καὶ τοῦτο χρόνῳ προὔβη τοῦ θεοῦ τοὺς λόγους
αὐτοῦ τελειώσαντος. ἐν δὲ τῷ τότε κρατήσας τῶν Ἱεροσολύμων πάντα συνεφόρει τὸν ἐν τῇ 5
βασιλείᾳ κόσμον ἔτι καὶ τοὺς εὐπόρους ἀφαιρούμενος, καὶ συναγαγὼν πλῆθος ἀργυρίου καὶ
χρυσίου παντὶ τούτῳ τὸν Ἀντώνιον ἐδωρεῖτο καὶ τοὺς περὶ αὐτόν. ἀπέκτεινε δὲ τεσσαράκοντα 6
τοὺς πρώτους ἐκ τῆς αἱρέσεως Ἀντιγόνου φύλακας περιστήσας ταῖς πύλαις τῶν τειχῶν,
ἵνα μή τι συνεκκομισθῇ τοῖς τεθνεῶσι. καὶ τοὺς νεκροὺς ἠρεύνων καὶ πᾶν τὸ εὑρισκό-
μενον ἀργύριον ἢ χρυσίον ἤ τί κειμήλιον ἀνεφέρετο τῷ βασιλεῖ, πέρας τε κακῶν οὐδὲν ἦν. 7
Ἀντώνιος δὲ λαβὼν αἰχμάλωτον τὸν Ἀντίγονον δέσμιον ἔγνω μέχρι τοῦ θριάμβου φυλάττειν, 8
ἐπεὶ δὲ ἤκουσε νεωτερίζειν τὸ ἔθνος κἀκ τοῦ πρὸς Ἡρώδην μίσους εὔνουν Ἀντιγόνῳ δια-
μένον, ἔγνω τοῦτον ἐν Ἀντιοχείᾳ πελεκίσαι· σχεδὸν γὰρ οὐδαμῶς ἠρεμεῖν ἠδύναντο
Ἰουδαῖοι.

Κατασχόντος δὲ τὴν βασιλείαν Ἡρώδου πυθόμενος Ὑρκανὸς ὁ ἀρχιερεύς, ἦν δὲ παρὰ 11
Πάρθοις αἰχμάλωτος, ἀφικνεῖται πρὸς Ἡρώδην τῆς αἰχμαλωσίας ἀπολυθεὶς τούτῳ τῷ
τρόπῳ· ἀναχθέντι γὰρ αὐτῷ πρὸς Φραάτην τὸν Πάρθων βασιλέα ἐπιεικέστερον ἐκεῖνος 14
προσηνέχθη διὰ τὸ τῆς εὐγενείας αὐτοῦ διάσημον. καὶ δεσμῶν μὲν αὐτὸν ἀφῆκεν, ἐν
Βαβυλῶνι δὲ κατάγεσθαι παρεῖχεν, ἔνθα καὶ πλῆθος ἦν Ἰουδαίων. οὗτοι τὸν Ὑρκανὸν 15
ἐτίμων ὡς ἀρχιερέα καὶ βασιλέα. πυθόμενος δὲ τὸν Ἡρώδην παρειληφέναι τὴν βασιλείαν 16
ἀντιμετεχώρει ταῖς ἐλπίσιν, ἐξ ἀρχῆς τὲ φιλοστόργως διακείμενος καὶ τῆς χάριτος ἀπο-
μνησθήσεσθαι προσδοκῶν, ὅτι κρινόμενον καὶ μέλλοντα θανάτῳ ζημιοῦσθαι τοῦ κινδύνου

13 ἰδιωτεύοντες Iosephus — 15 πρώην] ποτὲ Iosephus. — 32 πειθόμενος Busb. — παρειληφέναι ex παραληφέναι corr. Busb.

Zonaras I p. 420 Bonn.

17 ἐρρύσατο. λόγους οὖν προσέφερε τοῖς Ἰουδαίοις ἰέναι παρ' αὐτὸν ἐσπουδακώς. οἱ δὲ
μένειν ἠξίουν λέγοντες, ὡς οὐδὲν ἐνδεὲς αὐτῷ τῆς εἰς τοὺς ἀρχιερεῖς ἢ βασιλεῖς τιμῆς ἐξ
αὐτῶν εἴη, καὶ τὸ μεῖζον, ὅτι μηδὲ τούτων μεταλαβεῖν ἐκεῖ δύναται κατὰ λώβην τοῦ
18 σώματος, ἣν ὑπ' Ἀντιγόνου πάθοι. τοιαῦτα πολλὰ ὑποτεινόντων Ὑρκανὸς πόθον εἶχεν
19 ἀπεῖναι, καὶ Ἡρώδης δὲ γράφων αὐτῷ παρεκάλει δεῖσθαι Φραάτου. πέμπει δὲ καὶ παρὰ
τὸν Φραάτην πρεσβευτὴν καὶ δῶρα, μὴ διακωλῦσαι τὰς εἰς τὸν εὐεργέτην αὐτοῦ χάριτας.
20 ἦν δὲ οὐκ ἐντεῦθεν ἡ σπουδή, διὰ δὲ τὸ μὴ κατ' ἀξίαν αὐτὸς ἄρχειν ἐδεδοίκει τὰς ἐξ
εὐλόγων μεταβολὰς καὶ τὸν Ὑρκανὸν ὑποχείριον ἔχειν ἔσπευδεν ἢ καὶ παντάπασιν ἐκπο-
21 δὼν ποιήσασθαι· τοῦτο γὰρ ἔπραξεν ἐν ὑστέρῳ. τότε μέντοι γε ἐπειδὴ παρῆν συμπε-
πεισμένος ἐφέντος τοῦ Πάρθου καὶ τῶν Ἰουδαίων χρήματα παρασχομένων, ἁπάσῃ τιμῇ
δεξάμενος αὐτὸν ἔν τε τοῖς συλλόγοις τὸν πρῶτον ἔνεμε τόπον καὶ παρὰ τὰς ἑστιάσεις
προκατακλίνων ἐξηπάτα πατέρα καλῶν καὶ παντοδαπῶς τὸ τῆς ἐπιβουλῆς ἀνύποπτον
22 πραγματευόμενος. ἀποκαθίσταται δὲ καὶ τἆλλα πρὸς τὸ συμφέρον τῆς ἀρχῆς, ἐξ ὧν αὐτῷ
καὶ τὰ περὶ τὴν οἰκίαν ἐστασιάσθη· φυλαττόμενος γάρ τινα τῶν ἐπισήμων ἀποδεικνύναι
ἀρχιερέα τοῦ λαοῦ, μεταπεμψάμενος ἐκ τῆς Βαβυλῶνος ἱερέα τῶν ἀσημοτέρων Ἀνάηλον
23 ὀνόματι τούτῳ τὴν ἀρχιερωσύνην δίδωσιν. εὐθὺς οὖν οὐκ ἤνεγκεν Ἀλεξάνδρα τὴν ἐπήρειαν
ἐξ Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου παῖδας ἔχουσα, τὸν μὲν ὥρᾳ κάλλιστον Ἀριστόβουλον
24 καλούμενον, τὴν δὲ Ἡρώδῃ συνοικοῦσαν Μαριάμην εὐμορφίᾳ διάσημον. χαλεπῶς δ' ἔφερε
τὴν ἀτιμίαν τοῦ παιδὸς καὶ γράφει Κλεοπάτρᾳ αἰτεῖσθαι παρ' Ἀντωνίου τῷ παιδὶ τὴν
25 ἀρχιερωσύνην. Ἀντωνίου δὲ ῥαθυμότερον ὑπακούοντος, ὁ φίλος αὐτοῦ Δέλλιος εἰς τὴν
Ἰουδαίαν ἐλθὼν ὡς εἶδε τὸν Ἀριστόβουλον, ἠγάσθη τὲ τῆς ὥρας καὶ τὸ μέγεθος καὶ κάλλος
τοῦ παιδὸς ἐθαύμασεν, οὐχ ἧττον δὲ τὴν Μαριάμην συνοικοῦσαν τῷ βασιλεῖ, καὶ καλλί-
26 παιδα τὴν Ἀλεξάνδραν ἐκάλει. ἐκείνης δὲ εἰς λόγους ἐλθούσης αὐτῷ πείθει γραψαμένην
ἀμφοτέρων εἰκόνας Ἀντωνίῳ διαπέμψασθαι· θεασαμένου γὰρ οὐδενὸς ἀτευκτήσειν ὧν
27 28 ἀξιοῖ. τούτοις ἐπαρθεῖσα τοῖς λόγοις Ἀλεξάνδρα πέμπει τὰς εἰκόνας Ἀντωνίῳ. ὁ δὲ τὴν
μὲν κόρην ᾐδέσθη μεταπέμπεσθαι γεγαμημένην Ἡρώδῃ καὶ τὰς εἰς Κλεοπάτραν διαβολὰς
ἐκ τοῦ τοιούτου φυλαττόμενος, ἐπέστελλε δὲ πέμπειν τὸν παῖδα προστιθείς, εἰ μὴ βαρὺς
29 δοκοίη. Ἡρώδης οὐκ ἀσφαλὲς ἔκρινεν ὥρᾳ τε κάλλιστον ὄντα τὸν Ἀριστόβουλον, ἑκκαιδε-
καετὴς γὰρ ὢν ἐτύγχανε, καὶ γένει προὔχοντα πέμπειν παρὰ τὸν Ἀντώνιον, ἰσχύοντα μὲν
ὡς οὐκ ἄλλος ἐν τῷ τότε Ῥωμαίων, ἕτοιμον δὲ τοῖς ἐρωτικοῖς αὐτὸν ὑποθεῖναι καὶ πρὸς
30 τὰς ἡδονὰς εὐκατάφορον. ἀντέγραψεν οὖν ὡς, εἰ μόνον ἐξέλθοι τῆς χώρας τὸ μειράκιον,
ἅπαντα πολέμου καὶ ταραχῆς ἐμπλησθήσεται Ἰουδαίων ἐλπισάντων μεταβολὴν καὶ νεω-
31 τερισμὸν ἐπ' ἄλλῳ βασιλεῖ. τούτοις δὲ παραιτησάμενος τὸν Ἀντώνιον ἔγνω μὴ μέχρι
παντὸς ἀτιμάζειν τὸν παῖδα καὶ τὴν Ἀλεξάνδραν, ἀλλὰ καὶ τῆς γυναικὸς Μαριάμης ἐγκει-
μένης λιπαρῶς ἀποδοῦναι τἀδελφῷ τὴν ἀρχιερωσύνην, καὶ συμφέρειν αὐτῷ κρίνων, ἵνα
μηδὲ ἀποδημῆσαι δυνατὸν ᾖ τετιμημένῳ, σύλλογον ποιήσας τῶν φίλων ᾐτιᾶτο πολλὰ τὴν
32 Ἀλεξάνδραν, κρύφα τὲ ἐπιβουλεῦσαι λέγων τῇ βασιλείᾳ καὶ διὰ τῆς Κλεοπάτρας πράττειν,
ὅπως αὐτὸς μὲν ἀφαιρεθῇ τὴν ἀρχήν, τὸ δὲ μειράκιον ἀντ' αὐτοῦ παραλάβῃ τὰ πράγματα

1 ἐρύσατο Busb. — λόγοις Busb. — 5 παρὰ] περὶ Busb. — 12 ἐξηπάτα] ἐξηπώτα Busb. — 14 ἀποδεικνύειν Iosephus. — 18 τήν, ή i. ras. m. 2 Busb. — 21 ἠγάσθη, litt. άσθη in ras. Busb. — 25 ἐπαρθεῖσα, ἐ omisit rubricator Busb. — 34 ἐγγειμένης man. 1 Busb.



Zonaras I p. 421 Bonn.

δι' Ἀντωνίου. καὶ ταῦτα βεβουλεῦσθαι μὲν ἐκείνην οὐ δικαίως, ὁπότε καὶ τὴν θυγατέρα 33
συναποστεροίη τῆς οὔσης αὐτῇ τιμῆς καὶ ταραχὰς ἐπὶ τῇ βασιλείᾳ πραγματεύοιτο, πολλὰ
πονήσαντος αὐτοῦ καὶ κτησαμένου κινδύνοις οὐ τοῖς τυχοῦσιν. οὐ μὴν ἀπομνημονεύσας 34
αὐτὸς ὧν οὐ καλῶς ἐκείνη πράξειεν ἀποστήσεσθαι τοῦ δίκαιος εἶναι περὶ αὐτούς, ἀλλὰ
καὶ νῦν ἔφη διδόναι τῷ παιδὶ τὴν ἱερωσύνην καὶ πάλαι προκαταστήσασθαι τὸν Ἀνάηλον
παιδίου παντάπασιν ὄντος Ἀριστοβούλου. τοιαῦτα λέγοντος οὐκ ἀσκέπτως, ἀλλὰ πεφρον- 35
τισμένως μάλιστα εἰς ἀπάτην γυναικῶν καὶ τῶν συμπαραληφθέντων φίλων, περιπαθὴς
ἅμα χαρᾷ τῶν οὐ προσδοκηθέντων καὶ δέει τῆς ὑποψίας Ἀλεξάνδρα μετὰ δακρύων ἀπε-
λογεῖτο, περὶ μὲν τῆς ἱερωσύνης φαμένη πᾶν ὁτιοῦν σπουδάσαι, βασιλείᾳ δὲ μήτε ἐπιτίθεσθαι 36
μήτε ἄν, εἰ καὶ προσίοι, βούλεσθαι λαβεῖν, νῦν δὲ δέχεσθαι μὲν εἰς τὸν υἱὸν τὴν τιμήν, 37
ἔσεσθαι δὲ πρὸς πᾶν ὑπήκοος. οὕτως ἀλλήλοις ὁμιλήσαντες διελύετο πάσης ὑποψίας, ὡς ἐδό- 38
κουν, ἐξῃρημένης. ὁ δὲ βασιλεὺς Ἡρώδης εὐθὺς μὲν ἀφαιρεῖται τὴν ἀρχιερωσύνην Ἀνάηλον 39
ὄντα τῶν ὑπὲρ Εὐφράτην ἀπῳκισμένων Ἰουδαίων· οὐ γὰρ ὀλίγαι μυριάδες τοῦδε τοῦ λαοῦ
περὶ τὴν Βαβυλωνίαν ἀπῳκίσθησαν. ἔνθεν ἦν Ἀνάηλος ἀρχιερατικοῦ γένους καὶ πάλαι 40
κατὰ συνήθειαν Ἡρώδῃ σπουδαζόμενος. τοῦτον αὐτὸς μὲν ἐτίμησεν, ὅτε τὴν βασιλείαν
παρέλαβεν, αὐτὸς δὲ κατέλυσεν ἐπὶ τῷ παῦσαι τὰς οἰκείας ταραχὰς παράνομα ποιῶν,
παραδοὺς δὲ τὴν ἀρχὴν Ἀριστοβούλῳ τῷ παιδί. τότε μὲν ἐδόκει τεθεραπευκέναι τὰ κατὰ τὴν 41 42
οἰκίαν. οὐ μὴν ἀνυπόπτως εἶχε πρὸς Ἀλεξάνδραν. προσέταττεν οὖν ἔν τε τοῖς βασιλείοις 43
διατρίβειν καὶ μηδὲν ἐπ' ἐξουσίας δρᾶν, ἐπιμελεῖς τὲ ἦσαν αἱ φυλακαί. ταῦτα δὲ κατὰ μικρὸν 44
αὐτὴν ἐξηγρίου καὶ μῖσος ὑπεφύετο, παντὸς οὑτινοσοῦν ἀξιοῦσα μᾶλλον ἢ τῆς παρούσης
στερομένη τιμῆς εὐπρεπείᾳ μετὰ δουλείας καὶ φόβων καταζῆν. ἔπεμπεν οὖν παρὰ τὴν 45
Κλεοπάτραν ἐν οἷς εἴη ὀδυρομένη καὶ παρακαλοῦσα προσβοηθεῖν αὐτῇ κατὰ δύναμιν. ἡ
δὲ λαθοῦσαν ἐκέλευε σὺν τῷ παιδὶ πρὸς αὐτὴν ἀποδιδράσκειν. ἐδόκει ταῦτα καὶ τεχνά- 46
ζεται τοιαῦτα· δύο λάρνακας ὡς εἰς ἐκκομιδὴν νεκρῶν παρασκευασαμένη ταύταις αὐτὴν καὶ
τὸν υἱὸν ἐνέβαλεν, ἐπιτάξασα τῶν οἰκετῶν τοῖς συνειδόσι διὰ νυκτὸς ἐκφέρειν. ἦν δὲ
τοὐντεῦθεν ἐπὶ θάλατταν ὁδὸς αὐτοῖς καὶ πλοῖον, ᾧ διαπλεύσειν εἰς τὴν Αἴγυπτον
ἔμελλον, παρεσκευασμένον. ταῦτα Σαβίωνι τῶν ἐκείνης φίλων Αἴσωπος οἰκέτης αὐτῆς 47
ἀπαγγέλει, οὗτος δὲ καταλέγει ταῦτα τῷ βασιλεῖ. ὁ δὲ τὴν μὲν ἕως τῆς ἐγχειρήσεως ἐάσας 48
προελθεῖν ἐπ' αὐτοφώρῳ τοῦ δρασμοῦ συνέλαβε, παρῆκε δὲ τὴν ἁμαρτίαν, χαλεπὸν μὲν
οὐδέν, εἰ καὶ σφόδρα βουλόμενον ἦν αὐτῷ, διαθεῖναι τολμήσας, οὐ γὰρ ἀνασχέσθαι Κλεο-
πάτραν αἰτίαν ἐπὶ τῷ κατ' αὐτοῦ μίσει λαβοῦσαν, ἐμφαίνων μᾶλλον ἐξ ἐπιεικείας αὐτοῖς
συνεγνωκέναι. προὔκειτο μέντοι παντάπασιν αὐτῷ τὸ μειράκιον ἐκποδὼν ποιῆσαι, τὸ δὲ 49
μὴ ταχὺ μηδὲ ἅμα τοῖς πεπραγμένοις ἐδόκει πιθανώτερον εἰς τὸ λανθάνειν. ἕβδομον οὖν 51
Ἀριστόβουλος τὸ μειράκιον ἐπὶ τοῖς δέκα γεγονὸς ἔτος ἐπειδὴ τῆς σκηνοπηγίας ἑορτῆς 50
ἐνστάσης ἀνῆλθεν ἐπὶ τὸν βωμὸν κατὰ τὸν νόμον συντελέσων τὰ θύματα, τόν τε κόσμον 51
ἔχων τὸν τῶν ἀρχιερέων καὶ τὰ πρὸς τὴν θρησκείαν ἐκτελῶν, κάλλει τὲ κάλλιστος καὶ
μεγέθει πλείονι πρὸς τὴν ἡλικίαν ὑπεράγων, τοῦ γε μὴν περὶ τὸ γένος ἀξιώματος πλεῖστον

η
2 συναποστεροι, litt. οι in ras. Busb. — 11 διελύοντο Iosephus. — 16 οἰκίας Iosephus. — 24 τοιαῦτα] τοιάδε Iosephus. — 27 παρασκευασμένον man. 1 Busb. — 28 ἀπαγγέλλει ex corr. Busb. — 29 χαλεπὸν] Iosephus χαλεπὴν Busb. — 31 κατ' αὐτοῦ] πρὸς αὐτὸν Iosephus. — 37 πλείονι] πλέον ἢ Iosephus.

Zonaras I p. 423 Bonn.

52 ἐν τῇ μορφῇ διαφαίνων, ὁρμή τε τῷ πλήθει πρὸς αὐτὸν εὐνοίας ἐγένετο καὶ τῶν Ἀριστο-
βούλῳ τῷ πάππῳ πεπραγμένων ἐναργὴς ἡ μνήμη παρέστη, νικώμενοι τε κατὰ μικρὸν
ἐξηλέγχοντο τὰς διαθέσεις χαίροντες ὁμοῦ καὶ συγχεόμενοι καὶ φωνὰς εὐφήμους εἰς αὐτὸν
53 ἀφιέντες εὐχαῖς μεμιγμένας, ὥστε ἐμφανῆ γενέσθαι τὴν εὔνοιαν τῶν ὄχλων. ἐπὶ τούτοις
Ἡρώδης ἔγνω τὴν προαίρεσιν ἣν εἶχεν εἰς τὸ μειράκιον ἐξεργάσασθαι. καὶ τῆς ἑορτῆς
παρελθούσης εἱστιᾶτο μὲν ἐν Ἱεριχοῦντι δεχομένης αὐτοὺς τῆς Ἀλεξάνδρας, φιλοφρονού-
μενος δὲ τὸ μειράκιον καὶ προσέλκων εἰς ἀδεᾶ τόπον ἕτοιμος ἦν προσπαίζειν καὶ νεανι-
54 εύεσθαι κεχαρισμένως ἐκείνῳ. τοῦ δὲ περὶ τὸν τόπον ἰδιώματος θερινωτέρου τυγχάνοντος
τάχιον ἐξῆλθον ἀλύοντες, καὶ ταῖς κολυμβήθραις ἐπιστάντες, αἳ μεγάλαι περὶ τὴν αὐλὴν
55 ἐτύγχανον, ἀνέψυχον τὸ θερμότατον τῆς μεσημβρίας. καὶ πρῶτον μὲν ἑώρων τοὺς νεω-
τάτους τῶν οἰκετῶν καὶ φίλων νηχομένους, ἔπειτα προαχθέντος καὶ τοῦ μειρακίου τῷ καὶ
τὸν Ἡρώδην παροξῦναι, τῶν φίλων οἷς ταῦτα ἐπετέτακτο σκότους ἐπέχοντος οὐκ ἀνῆκαν
βαροῦντες ἀεὶ καὶ βαπτίζοντες ὡς ἐν παιδιᾷ νηχόμενον, ἕως καὶ παντάπασιν ἀποπνίξαι.
56 καὶ διεφθάρη μὲν οὕτως Ἀριστόβουλος, ὀκτωκαίδεκα μὲν οὔ πάντα βιοὺς ἔτη, τὴν δὲ
57 ἱερωσύνην κατασχὼν ἐνιαυτόν, ἣν Ἀνάνηλος ἐκομίσατο πάλιν. ἐξαγγελθέντος δὲ τοῦ
πάθους ταῖς γυναιξὶν εὐθὺς μὲν ἦν θρῆνος ἐπὶ προκειμένῳ τῷ νεκρῷ καὶ πένθος
ἄσχετον, ἥ τε πόλις τοῦ λόγου διαδοθέντος ὑπερήλγει πάσης ἑστίας οἰκειουμένης τὴν
58 συμφοράν. Ἀλεξάνδρα δὲ καὶ μᾶλλον ἐκπαθὴς ἦν συνέσει τῆς ἀπωλείας, τὸ μὲν ἀλγοῦν
ἐκ τοῦ γινώσκειν ὅπως ἐπράχθη πλεῖον ἔχουσα, τὸ δὲ ἐγκαρτερεῖν ἀναγκαῖον ἐπὶ
60 μείζονος κακοῦ προσδοκίᾳ ποιουμένη. κἀκείνη μὲν ἐγκρατῶς [ἔφερε τὴν ὑποψίαν.
Ἡρώδης δὲ πᾶσι τοῖς ἔξωθεν πιθανῶς] ἀπεσκευάζετο, μὴ μετὰ προνοίας γενέσθαι τῷ
παιδὶ τὸν θάνατον, οὐχ ὅσα πρὸς πένθος ἐπιτηδεύων μόνον, ἀλλὰ καὶ δάκρυσι χρώμενος
61 καὶ σύγχυσιν τῆς ψυχῆς ἐμφαίνων, δῆλον δὲ ὡς ἀπολογίαν αὐτὰ πραγματευόμενος. τά γε
μὴν εἰς τὴν πολυτέλειαν τῆς ἐκφορᾶς καὶ μᾶλλον ὑπερεδείξατο.

62 Τὴν δὲ Ἀλεξάνδραν ἥττησε μὲν οὐδὲν τῶν τοιούτων, ἀεὶ καὶ μᾶλλον ἡ μνήμη τοῦ
κακοῦ ὀδυρτικὴν ἐποίει καὶ φιλόνεικον, καὶ γράφει τὴν ἐπιβουλὴν Ἡρώδου τῇ Κλεοπάτρᾳ
καὶ τὴν ἀπώλειαν τοῦ παιδός. ἡ δὲ καὶ πάλαι σπεύδουσα προσαρκέσαι δεομένῃ καὶ τὰς
ἀτυχίας οἰκτείρουσα τῆς Ἀλεξάνδρας αὐτῆς ἐποιεῖτο τὸ πᾶν πρᾶγμα καὶ Ἀντώνιον οὐκ
64 ἀνίει ἐρεθίζουσα τίσασθαι τὸν φόνον τοῦ παιδός. τούτοις ἀναπειθόμενος Ἀντώνιος ὡς
ἐπὶ Λαοδικείας ἐστάλη, πέμπει κελεύων Ἡρώδην ἐλθόντα τὴν εἰς Ἀριστόβουλον ἀπολύ-
65 σασθαι. ὁ δὲ τήν τε αἰτίαν δεδοικὼς καὶ τὴν Κλεοπάτρας δυσμένειαν. ἔγνω μὲν ὑπα-
κούειν, οὐδὲ γὰρ ἄλλό τι πράττειν ἐνῆν, καταλιπὼν δὲ τὸν θεῖον αὐτοῦ Ἰώσηπον ἐπίτρο-
πον τῆς ἀρχῆς καὶ τῶν ἐκεῖ πραγμάτων ἐνετείλατο λεληθότως, εἰ πάθοι τί παρ' Ἀντωνίου
66 παραχρῆμα καὶ τὴν Μαριάμην ἀνελεῖν· αὐτός τε γὰρ ἔχειν φιλοστόργως πρὸς τὴν γυναῖκα
καὶ δεδοικέναι τὴν ὕβριν, εἰ καὶ τεθνηκότος ἐκείνη κατ' εὐμορφίαν ἄλλῳ τινὶ σπουδάζεται.
67 Ἡρώδης μὲν οὖν ἐπιστείλας ταῦτα καὶ τὰς ἐλπίδας οὐκ ἀσφαλεῖς ἔχων ὑπὲρ τῶν ἄλλων
68 ἀπῄει πρὸς Ἀντώνιον. ὁ δὲ Ἰώσηπος ἐπὶ τῆς διοικήσεως ὢν τῶν ἐν τῇ βασιλείᾳ πραγμάτων

15 Ἀνάηλος supra. — 20 ἔφερε .... πιθανῶς] ex Iosepho om. Busb., sed agnoscit Zonaras, apud quem habemus; ἐνεκαρτέρει δὲ φόβῳ κακῶν ἑτέρων. Ἡρώδης δὲ πάντα ἐπετήδευεν ἀποσκευαζόμενος τὴν ὑπόνοιαν etc. — 22 μόνων man. 1 Busb. — 25 i. marg. δ' Busb. — 25 ἀεὶ] ἀεὶ δὲ Iosephus. — 29 ἐρεθίζουσα] παροξύνουσα Iosephus. — 30 τὴν] τῶν Iosephus. — εἰς supra versum supplevit man. 2 Busb.



Zonaras I p. 424 Bonn.

καὶ συνεχῶς ἐντυγχάνων τῇ Μαριάμῃ καθίει εἰς συνεχεῖς ὁμιλίας ὑπὲρ τῆς Ἡρώδου πρὸς
αὐτὴν εὐνοίας. ἐξειρωνευομένων δὲ τῶν γυναικῶν τοὺς λόγους καὶ μάλιστα Ἀλεξάνδρας, 69
ὑπερεσπουδακὼς ὁ Ἰώσηπος ἐπιδεῖξαι τὴν διάνοιαν τοῦ βασιλέως προήχθη καὶ τὰ περὶ
τὴν ἐντολὴν εἰπεῖν, πίστιν αὐτὸς ποιούμενος ὡς οὐδὲ χωρὶς ζῆν δύναται ἀξιῶν μηδὲ
θανάτῳ διεζεῦχθαι. αἱ δὲ γυναῖκες χαλεπὴν τὴν ὑπόνοιαν τοῦ ῥηθέντος εἶχον. ἐν δὲ 70 71
τούτῳ καὶ λόγος ἐγένετο κατὰ τὴν πόλιν παρὰ τῶν ἐν ἔχθει τὸν Ἡρώδην ἐχόντων, ὡς
Ἀντώνιος αἰκισάμενος αὐτὸν ἀποκτείνειεν. ἡ δὲ φήμη πάντων μάλιστα τὰς γυναῖκας
ἐτάραξεν. Ἀλεξάνδρα δὲ καὶ τὸν Ἰώσηπον ἀναπείθει σὺν αὐταῖς τῶν βασιλείων ἐξελ- 72
θόντα συμφυγεῖν τοῖς σημείοις τοῦ Ῥωμαϊκοῦ τάγματος, ὁπότε περὶ τὴν πόλιν ἐπὶ φρουρᾷ
τῆς βασιλείας ἐστρατοπέδευε· διὰ γὰρ τοῦτο πρῶτον μέν, εἰ καί τις ἀπαντήσειε ταραχὴ 73
περὶ τὴν αὐλήν, ἐν ἀσφαλεστέρῳ διάξειν αὐτοὶ Ῥωμαίους εὐμενεῖς ἔχοντες· ἔπειτα καὶ
τεύξασθαι παντὸς ἠλπικέναι τὴν Μαριάμην Ἀντωνίου θεασαμένου, δι' οὗ καὶ τὴν ἀρχὴν
ἀναλήψεσθαι καὶ μηδενὸς ὑστερήσειν ὧν εἰκὸς τοῖς ἐν εὐγενείᾳ βασιλικῇ γεγονόσιν.
ἐπὶ τούτων δὲ τῶν λογισμῶν οὖσιν αὐτοῖς γράμματα παρὰ Ἡρώδου περὶ τῶν ὅλων ἀφίκετο 74
τῆς φήμης ἐναντία· ἐπειδὴ γὰρ ἐγένετο παρ' Ἀντωνίῳ, ταχὺ μὲν αὐτὸν ἀνεκτήσατο τοῖς 75
δώροις ἃ φέρων ἦλθε, ταχὺ δὲ ταῖς ὁμιλίαις παρεστήσατο μὴ χαλεπῶς ἔχειν εἰς αὐτόν, οἵ
τε τῆς Κλεοπάτρας λόγοι πρὸς τὴν ἐκείνου θεραπείαν ἧττον ἠδυνήθησαν· οὐ γὰρ ἔφη 76
καλῶς ἔχειν Ἀντώνιος βασιλέα περὶ τῶν κατὰ τὴν ἀρχὴν γεγενημένων εὐθύνας ἀπαιτεῖν.
δόντας δὲ τὴν τιμὴν καὶ τῆς ἐξουσίας καταξιώσαντας ἐᾶν αὐτῇ χρῆσθαι. τὸ δὲ αὐτὸ καὶ
τῇ Κλεοπάτρᾳ συμφέρειν. ὑπὲρ τούτων Ἡρώδης ἔγραφε καὶ τὰς ἄλλας διεξῄει τιμάς, ἃς 77
ἔχοι παρ' Ἀντωνίῳ συνθηκῶν ἐν ταῖς διαγνώσεσι καὶ συνεστιώμενος ἐφ' ἑκάστης ἡμέρας,
καὶ τούτων τυγχάνειν χαλεπῆς ὅμως εἰς τὰς διαβολὰς αὐτῷ τῆς Κλεοπάτρας οὔσης· ἐξαιτου-
μένη γὰρ αὐτῇ τὴν βασιλείαν προσγενέσθαι ἐκποδὼν αὐτὸν ἐσπουδάκει ποιῆσαι. ἀλλὰ 79
μηκέτι προσιέναι αὐτῇ τὴν ἐλπίδα τῆς πλεονεξίας Ἀντωνίου δόντος ἀνθ' ὧν ἠξίου τὴν
κοίλην Συρίαν. τούτων τῶν γραμμάτων ἀπενεχθέντων ἐπαύσαντο μὲν ἐκείνης τῆς ὁρμῆς, 80
οὐ μὴν ἔλαθεν αὐτῶν ἡ προαίρεσις, ἀλλ' ἐπεὶ παραπέμψας ὁ βασιλεὺς Ἀντώνιον ἐπὶ
Πάρθους εἰς τὴν Ἰουδαίαν ὑπέστρεψεν, εὐθὺ μὲν ἥ τε ἀδελφὴ Σαλώμη καὶ ἡ μήτηρ αὐτῶν
τὴν διάνοιαν ἣν ἔσχον οἱ περὶ τὴν Ἀλεξάνδραν ἀπεσήμαναν. ἡ δὲ Σαλώμη καὶ κατὰ 81
τοῦ ἀνδρὸς Ἰωσήπου λόγον εἶπεν ἐν διαβολῇ ποιοῦσα καὶ τῇ Μαριάμῃ συγγινόμενον δια-
τελεῖν. ἔλεγε δὲ ταῦτα χαλεπῶς ἔχουσα πρὸς αὐτὴν ἐκ πλείονος, ὅτι κατὰ τὰς διαφορὰς
τὴν ἐκείνων ἐξωνείδιζε δυσγένειαν. Ἡρώδης δὲ λίαν ἐρωτικῶς πρὸς τὴν Μαριάμην ἔχων 82
εὐθὺ μὲν ἐξεταράττετο καὶ τὴν ζηλοτυπίαν οὐκ ἔφερεν, ἰδίᾳ δὲ τὴν Μαριάμην ἀνέκρινεν.
ἀπομνυμένης δ' ἐκείνης ἀνεπείθετο κατὰ μικρὸν καὶ μετέβαινεν ἐκ τῆς ὀργῆς ἡττώμενος 83
τῇ περὶ τὴν γυναῖκα φιλοστοργίᾳ, ὡς ἀπολογεῖσθαι περὶ ὧν ἔδοξεν ἀκούσας πεπιστευκέναι,
αὐτός τε ὅπως ἔχει στοργῆς καὶ εὐνοίας πρὸς αὐτὴν ἀνθωμολογεῖτο καὶ τέλος, ὡς ἐν τοῖς 84
ἐρωτικοῖς φιλεῖ, προὔπιπτον εἰς δάκρυα ἐμπεφυκότες ἀλλήλοις. ἀεὶ δὲ καὶ μᾶλλον πιστου- 85
μένου τοῦ βασιλέως καὶ ἐπὶ τὴν αὐτοῦ διάθεσιν ἕλκοντος „οὐ φιλοῦντος, εἶπεν ἡ Μαριάμη,
τὸ κατὰ τὴν ἐντολήν, εἴ γε πάθοις τί χαλεπὸν ὑπ' Ἀντωνίου, κἀμὲ συναπολέσθαι τὴν

1 post Μαριάμῃ una litt. erasa Busb. — 6 τῶν] τὸν Busb. — 7 αὐτὸν, litt. ν in ras. Busb. — 8 ἀλέξανδρος Busb. — 13 τοῖς] τῆς Busb. — 16 ἦλθε] ἧκεν Iosephus. — 32 μαριάμην ἀνέκρινεν, litt. ην ἀν in ras. Busb.

Zonaras I p. 425 Bonn.

86 οὐδενὸς αἰτίαν“. τούτου προσπεσόντος τοῦ λόγου περιπαθήσας ὁ βασιλεὺς ἐκ τῶν χειρῶν
αὐτὴν ἀφῆκεν, ἐβόα δὲ καὶ τῶν αὐτοῦ τριχῶν αὐτὸς ἐδράττετο, περιφανὲς φώριον ἔχειν
87 τῆς τοῦ Ἰωσήπου πρὸς αὐτὴν κοινωνίας λέγων· οὐ γὰρ ἂν ἐξειπεῖν ἃ κατ᾽ ἰδίαν ἤκουσε
μὴ μεγάλης αὐτοῖς πίστεως ἐγγενομένης. οὕτω δὲ ἔχων ὀλίγου μὲν ἀπέκτεινε τὴν γυναῖκα,
νικώμενος δὲ τῷ πρὸς αὐτὴν ἔρωτι ταύτην μὲν τὴν ὁρμὴν ἐπέσχε, τὸν δὲ Ἰώσηπον οὐδὲ
εἰς ὄψιν ἐλθόντα διαχρήσασθαι προσέταξε καὶ τὴν Ἀλεξάνδραν ὡς ἁπάντων αἰτίαν δήσας
ἐφύλαττεν.
88 Ἐν δὲ τούτῳ καὶ τὰ περὶ τὴν Συρίαν ταραχὰς εἶχεν οὐκ ἀνιείσης τῆς Κλεοπάτρας
τὸν Ἀντώνιον μὴ πᾶσιν ἐπιχειρεῖν· ἔπειθε γὰρ ἀφαιρούμενον ἑκάστῳ τὰς δυναστείας
89 αὐτῇ παρέχειν καὶ πλεῖστον ἴσχυσεν ἐκ τῆς ἐκείνου πρὸς αὐτὴν ἐπιθυμίας. πλεονεξίαις
δὲ χαίρουσα παρανομίας οὐδὲν ἐνέλιπε, τὸν μὲν ἀδελφόν, ᾧπερ τὴν βασιλείαν ᾔδει γενη-
σομένην, προανελοῦσα φαρμάκοις πεντεκαιδέκατον ἔτος ἔχοντα, τὴν δὲ ἀδελφὴν Ἀρσινόην
90 ἱκετεύουσαν πρὸς τῷ τῆς Ἀρτέμιδος ἐν Ἐφέσῳ ἀποκτείνασα ἱερῷ δι᾽ Ἀντωνίου· χρημάτων
91 γὰρ ἕνεκεν, εἴ που μόνον ἐλπισθείη, καὶ ναοὶ καὶ τάφοι παρηνομήθησαν. τὸ δὲ ὅλον
οὐδὲν αὔταρκες ἦν γυναικὶ πολυτελεῖ ἐπιθυμίαις τὲ δουλευούσῃ. διὰ ταῦτα καὶ τὸν
Ἀντώνιον ἤπειγεν ἀεὶ τὰ τῶν ἄλλων ἀφαιρούμενον αὐτῇ χαρίζεσθαι, καὶ διαβᾶσα σὺν
92 ἐκείνῳ τὴν Συρίαν ἐπενόει κτῆμα ποιήσασθαι. Λυσανίαν μὲν οὖν τὸν Πτολεμαίου Πάρθους
αἰτιασαμένη τοῖς πράγμασιν ἐπάγειν ἀποκτίννυσιν, ᾔτει τὲ παρ᾽ Ἀντωνίου τήν τε Ἰουδαίαν
93 καὶ τὴν τῶν Ἀράβων. τῷ δὲ Ἀντωνίῳ τὸ μὲν ὅλον συνέβαινεν ἡττᾶσθαι τῆς γυναικός, ὡς
μὴ μόνον ἐκ τῆς ὁμιλίας, ἀλλὰ καὶ φαρμάκοις δοκεῖν εἰς ὅ τι ἂν ἐκείνη βούληται ὑπακούειν,
94 τὸ μέντοι περιφανὲς τῆς ἀδικίας ἐξεδυσώπει μὴ μέχρι τοσοῦδε ἐξαμαρτάνειν. ἵν᾽ οὖν
μήτε ἀρνηθῇ παντάπασιν μήτε δόξῃ κακός, μέρη τῆς χώρας ἑκατέρου παρελόμενος τούτοις
95 αὐτὴν ἐδωρήσατο. δίδωσι δὲ καὶ τὰς ἐντὸς Ἐλευθέρου ποταμοῦ, πόλεις ἄχρις Αἰγύπτου
χωρὶς Τύρου καὶ Σιδῶνος ἐκ προγόνων εἰδὼς ἐλευθέρας.
96 Τούτων ἡ Κλεοπάτρα τυχοῦσα καὶ παραπέμψασα μέχρις Εὐφράτου τὸν Ἀντώνιον ἐπ᾽
Ἀρμενίαν στρατευόμενον ἀνέστρεφε καὶ γίνεται μὲν ἐν Ἀπαμείᾳ καὶ Δαμασκῷ, παρῆλθε
δὲ καὶ εἰς τὴν Ἰουδαίαν Ἡρώδου συντυχόντος αὐτῇ καὶ τῆς τε Ἀραβίας τὰ δοθέντα καὶ
τὰς περὶ τὴν Ἱεριχοῦντα προσόδους μισθωσαμένου· φέρει δὲ ἡ χώρα τὸ βάλσαμον, ὃ
97 τιμιώτατον τῶν ἐκεῖ καὶ παρὰ μόνοις φύεται, τόν τε φοίνικα πολὺν καὶ καλόν. ἐν τούτοις
οὖσα καὶ πλείονος αὐτῇ συνηθείας πρὸς τὸν Ἡρώδην γενομένης διεπείραζεν εἰς συνουσίαν
ἐλθεῖν τῷ βασιλεῖ, φύσει μὲν ἀπαρακαλύπτως ταῖς ἐντεῦθεν ἡδοναῖς χρωμένη, τάχα δέ
τι καὶ παθοῦσα πρὸς αὐτὸν ἐρωτικὸν ἢ τὸ πιθανώτερον ἀρχὴν ἐνέδρας τὴν ἐπ᾽ αὐτῇ γενη-
98 σομένην ὕβριν ὑποκατασκευάζουσα. Ἡρώδης δὲ καὶ πάλαι μὲν οὐκ εὔνους ἦν τῇ Κλεο-
πάτρᾳ χαλεπὴν εἰς ἅπαντας ἐπιστάμενος, τότε δὲ καὶ μισεῖν ἀξιῶν, εἰ δι᾽ ἀσέλγειαν εἰς
τοῦτο πρόεισι, τοὺς μὲν λόγους αὐτῆς διεκρούσατο, βουλήν δ᾽ ἐποιεῖτο σὺν τοῖς φίλοις
99 ὑποχείριον ἔχων ἀποκτεῖναι· πολλῶν γὰρ κακῶν ἀπαλλάξειν ἅπαντας οἷς ἐγένετό τε ἤδη
100 χαλεπὴ καὶ προσεδοκᾶτο· τὸ δὲ αὐτὸ τοῦτο καὶ Ἀντωνίῳ λυσιτελήσειν. ταῦτα βουλευό-
103 μενον ἐκώλυον οἱ φίλοι, καὶ τὸ κινδυνῶδες ἐξ εἰκότων παραδηλοῦντες ἐπέσχον αὐτὸν τῆς

9 ἑκάστων Iosephus. — 10 παρέχειν] διδόναι Iosephus. — πλεονεξίαις] ex πλεονεξιας corr. m. 2 Busb. πλεονεξίᾳ Iosephus. — 20 βούληται] θέλῃ Iosephus. — 25 i. marg. ε' Busb. — 33 ἦν, litt. ῆ in ras. Busb. — 36 κακῶν, litt. κ (ante ῶ) in ras. Busb.



Zonaras I p. 426 Bonn.

ἐπιχειρήσεως. ὁ δὲ τὴν Κλεοπάτραν δωρεαῖς θεραπεύσας ἐπ᾽ Αἴγυπτον προὔπεμψεν.
Ἀντώνιος μὲν οὖν τὴν Ἀρμενίαν καταλαβὼν Ἀρταβάζην τὸν Τιγράνου σὺν τοῖς παισὶ 104
καὶ σατράπαις δέσμιον εἰς Αἴγυπτον ἀποπέμπει, δωρούμενος τούτοις τὴν Κλεοπάτραν
καὶ τῷ παντὶ κόσμῳ τῆς βασιλείας, ὃν ἐξ αὐτῆς ἔλαβεν. Ἀρμενίας δὲ ἐβασίλευσεν 105
Ἀρταξίας ὁ πρεσβύτατος τῶν ἐκείνου παίδων διαδρὰς ἐν τῷ τότε. καὶ τοῦτον
Ἀρχέλαος καὶ Νέρων Καίσαρ ἐκβαλόντες Τιγράνην τὸν νεώτερον ἀδελφὸν ἐπὶ τὴν βασιλείαν
κατήγαγον. ταῦτα μὲν οὖν ἐν ὑστέρῳ. περὶ δὲ τοὺς φόρους, οὓς ἔδει τελεῖν τῆς ὑπ᾽ 106
Ἀντωνίου δοθείσης χώρας, ὁ μὲν Ἡρώδης δίκαιος ἦν οὐκ ἀσφαλὲς ἡγούμενος διδόναι τῇ
Κλεοπάτρᾳ μίσους αἰτίαν. ὁ δὲ Ἄραψ Ἡρώδου τὴν φορὰν ἐπιδειξαμένου χρόνον μέν τινα 107
παρεῖχεν ἐκείνῳ τὰ διακόσια τάλαντα, μετὰ ταῦτα δὲ κακοήθης ἦν καὶ βραδὺς εἰς τὰς
ἀποδόσεις. Ἡρώδης δὲ ἀγνωμονοῦντος καὶ μηδὲν τῶν δικαίων ποιεῖν ἐθέλοντος εἶχε μὲν 108
ὡς ἐπεξελευσόμενος, προθεσμίᾳ δὲ ἐχρήσατο τῷ Ῥωμαϊκῷ πολέμῳ· τῆς γὰρ ἐπ᾽ Ἀκτίῳ 109
μάχης προσδοκωμένης, ὃν Καῖσαρ Ἀντωνίῳ περὶ τῶν ὅλων ἔμελλεν ἀγωνιεῖσθαι πραγμά-
των, Ἡρώδης Ἀντωνίῳ συμμαχίαν κατέλεξεν, Ἀντώνιος δὲ τῆς μὲν ἐκείνου συμμαχίας 110
οὐδὲν ἔφη δεῖσθαι, τὸν δὲ Ἄραβα ἐπεξελθεῖν προσέταττεν· ἠξίου γὰρ ἡ Κλεοπάτρα
ταῦτα λυσιτελεῖν αὐτῇ τὸν ἕτερον ὑπὸ θατέρου κακῶς πάσχειν ἡγουμένη. ὑποστρέψας 111
οὖν Ἡρώδης συνεῖχε τὸ στρατιωτικὸν τῶν Ἀράβων καὶ μάχης καρτερᾶς γενομένης ἐκράτησαν
οἱ Ἰουδαῖοι. μετὰ δὲ ταῦτα πολλὴ στρατιὰ τῶν Ἀράβων συνῄει, Ἡρώδης τὲ προπεπυ- 112
σμένος ἧκεν ἄγων ἐπ᾽ αὐτοὺς τὸ πλεῖστον ἧς εἶχε δυνάμεως, καὶ πρῶτος αὐτὸς ἐν τοῖς 114
ὅπλοις ἡγήσατο πάντων κατ᾽ οἰκεῖα τέλη συνακολουθησάντων. ἔκπληξις δὲ εὐθὺς ἐπι- 115
πίπτει τοῖς Ἄραψιν· ἐνστάντες γὰρ ὀλίγον ὡς ἑώρων ἀμάχους ὄντας καὶ μεστοὺς φρονή-
ματος, ἔφευγον οἱ πλείους ἐκκλίναντες κἂν διεφθάρησαν Ἀθηνίωνος μὴ κακώσαντος Ἡρώδην
καὶ τοὺς Ἰουδαίους· οὗτος γὰρ ἦν στρατηγὸς μὲν Κλεοπάτρας ἐπὶ τῶν ἐκεῖ, διάφορος δὲ 116
ὢν Ἡρώδῃ τὸ μέλλον ἐσκόπει, δρασάντων μέν τι λαμπρὸν τῶν Ἀράβων ἐγνωκὼς ἡσυχίαν,
ἡττημένων δέ, ὃ καὶ συνέβη, τοῖς ἀπὸ τῆς χώρας συνεληλυθόσι τῶν οἰκείων παρε-
σκευασμένος ἐπιτίθεται τοῖς Ἰουδαίοις ἀπροσδοκήτοις καὶ κεκμηκόσι καὶ πολὺν φόνον 117
ἐποίει ἐν χωρίοις ἀφίπποις καὶ πετρώδεσιν, ὧν πλείω τὴν ἐμπειρίαν εἶχον οἱ τὴν ἐπί-
θεσιν ποιησάμενοι. κακῶς δὲ πασχόντων οἵ τε Ἄραβες αὐτοὺς ἀνειλήφεσαν καὶ πάλιν 118
ὑποστρέψαντες ἔκτεινον ἤδη τετραμμένους, ἐγένοντό τε παντοδαπαὶ κτιννυμένων ἀπώλειαι,
καὶ τὸ στρατόπεδον ἥλω τῶν Ἰουδαίων. τοὐντεῦθεν Ἡρώδης λῃστείαις ἐχρᾶτο καὶ τὰ 119 120
πολλὰ κατατρέχων τὴν τῶν Ἀράβων ἐκάκου ταῖς ἐπιδρομαῖς στρατοπεδευόμενος ἐπὶ τῶν
ὀρῶν, καὶ τῶν οἰκείων ἐπιμελούμενος παντί τε τρόπῳ τὸ πταῖσμα διορθούμενος.
Ἐν τούτῳ ἑβδόμου ὄντος Ἡρώδῃ τῆς βασιλείας ἔτους σεισθεῖσα ἡ γῆ τῶν Ἰουδαίων 121
ὡς οὐκ ἄλλοτε τῶν ἐν τῇ χώρᾳ κτηνῶν πολὺν φόνον ἐποίησεν. ἐφθάρησαν δὲ καὶ τῶν 122
ἀνθρώπων ὑπὸ ταῖς πεπτωκυίαις οἰκίαις περὶ τρισμυρίους· τὸ μέντοι στρατιωτικὸν ἐν
ὑπαίθρῳ διαιτώμενον οὐδὲν ὑπὸ τοῦ πάθους ἐβλάβη. ταῦτα πυνθανομένοις τοῖς Ἄραψι 123

2 ἀρταβάζην, litt. ην in ras. Busb. — 4 ὃν] ὧν Busb. — 10 i. marg. ς' Busb. — 13 ὂν] ἦν Iosephus. — 15 ἄραβα, α post ρ in ras. 2 litt. Busb. — 20 ἔκπλιξις Busb. — 24 post Ἡρώδῃ 1 litt. erasa Busb. — 25 ἡττημένων, litt. η ante μ in ras. Busb. ἡττωμένων Iosephus. — 26 ἐπιτίθεται, litt. τι supra versum suppleta Busb. — 30 ἐχρατο (ῆ supra) Busb. — 33 i. marg. ζ' Busb.

Zonaras I p. 426 Bonn.

μεῖζον ἐπῄει φρονεῖν, ὡς τῆς χώρας ἀνατετραμμένης τοῖς πολεμίοις καὶ διεφθορότων
124 ἀνθρώπων μηδὲν ἔτι μηδὲ εἰς αὐτοὺς ἀντίπαλον καταλελεῖφθαι δοκεῖν. καὶ τῶν τε Ἰου-
δαίων τοὺς πρέσβεις, ἧκον γὰρ ἐπὶ τοῖς γεγενημένοις εἰρήνην ποιησόμενοι, συλλαβόντες
125 ἀπέκτειναν καὶ μετὰ πάσης προθυμίας ἐχώρουν ἐπὶ τὸ στρατιωτικὸν αὐτῶν. οἱ δὲ οὐδὲ
126 τὴν ἔφοδον ἐδέξαντο. οὕτως οὖν ἐχόντων ἐπῆγεν ὁ βασιλεὺς λόγῳ τὲ πείθων τοὺς ἡγε-
μόνας καὶ πειρώμενος ἀναλαμβάνειν αὐτῶν τὰ φρονήματα πεπτωκότων. παραθαρσύνας
δὲ τινὰς τῶν ἀμεινόνων ἐτόλμησεν ἤδη καὶ τῷ πλήθει διαλέγεσθαι καὶ παρεκάλει πολλοὺς
147 πρὸς τὸν ὄχλον ποιούμενος λόγους. ὧν ἀκούσαντες Ἰουδαῖοι πολὺ τὰς ψυχὰς ἀμείνους
148 ἐγένοντο. ὁ δὲ βασιλεὺς ἦγε τούτους ἐπὶ τοὺς Ἄραβας καὶ ἐδόκει αὐτῷ φρούριον ἐν μέσῳ
149 κείμενον καταλαβεῖν. τοῦ δὲ αὐτοῦ καὶ τῶν Ἀράβων προνοούντων ἅμιλλα γίνεται περὶ
τοῦ χωρίου καὶ πρῶτον μὲν ἐν ἀκροβολισμοῖς ἦσαν, εἶτα καὶ πλείους εἰς χεῖρας ἐρχόμενοι
150 παρ' ἀμφοτέρων ἔπιπτον, ἕως ἡττηθέντες οἱ παρὰ τῶν Ἀράβων ἀπεχώρουν. τοῦτο εὐθὺς
151 εἰς ἐλπίδας τοῖς Ἰουδαίοις οὐ μικρὸν ἐγεγόνει. καὶ μάχη γίνεται καρτερὰ πιπτόντων
152 ἑκατέρωθεν οὐκ ὀλίγων, τέλος δὲ τραπέντες οἱ Ἄραβες ἔφυγον. ἦν δὲ φόνος ἐκκλινάντων
153 πολύς· πεντακισχίλιοι γοῦν αὐτῶν ἐγένοντο νεκροί. τὸ δὲ ἄλλο πλῆθος ἔφθη μὲν εἰς τὸ
χαράκωμα συμφυγεῖν, εἶχε δὲ οὐκ ἐν βεβαίῳ τὴν ἐλπίδα τῆς σωτηρίας ἀπορίᾳ τῶν ἐπιτη-
154 δείων καὶ μᾶλλον ὕδατος. οἵ τε Ἰουδαῖοι παρακαθεζόμενοι τὸν χάρακα φυγεῖν αὐτοὺς
155 βουλομένους εἶργον. ἐν τοιούτοις οὖν οἱ Ἄραβες ὄντες ἐπρεσβεύοντο παρὰ τὸν Ἡρώδην,
τὸ μὲν πρῶτον ὑπὲρ διαλύσεως, ἔπειτα, τὸ γὰρ δίψος ἤπειγε, πᾶν ὁτιοῦν ὑφιστάμενοι
156 καὶ τυχεῖν εἰς τὸ παρὸν ἀδείας ἠξιωκότες. ὁ δὲ οὔτε πρέσβεις οὔτε λύτρα τῶν ἡλωκότων
οὔτε ἄλλό τι μέτριον προσίετο. καταναγκαζόμενοί τε τοῖς ἄλλοις καὶ τῷ δίψει προσιόντες
157 ἑαυτοὺς ἐνεχείριζον ἄγειν καὶ δὴ πέντε μὲν ἡμέραις τετρακισχίλιοι οὕτως ἑάλωσαν, τῇ δὲ
ἕκτῃ πάντες οἱ λοιποὶ διέγνωσαν ἐξιέναι πολέμου νόμῳ χωρήσαντες ἐπὶ τοὺς ἐναντίους
158 ἐγχειρεῖν, καὶ εἰ δέοι τί πάσχειν καὶ μὴ διαφθείρεσθαι κατ' ὀλίγους ἀδόξως. ταῦτα δὲ
γνόντες ἐξῆλθον τοῦ χαρακώματος, διήρκεσαν δὲ οὐδαμῶς τῇ μάχῃ, καὶ πίπτουσιν αὐτῶν
159 περὶ ἑξακισχιλίους. οἱ δὲ λοιποὶ εἶξαν καὶ προστάτην ἀπεφήναντο τοῦ ἔθνους τὸν Ἡρώδην.
160 ὁ δὲ πλεῖστον ἐπὶ τοῖς εὐημερήμασιν ἠξιωκὼς φρονεῖν ἀνέστρεφεν εἰς τὴν οἰκείαν, μέγα
προσειληφὼς ἀξίωμα καὶ διὰ ταύτην τὴν ἀνδραγαθίαν.

161 Τὰ μὲν οὖν ἄλλα ἀσφαλῶς εἶχεν αὐτῷ δυσεπιχειρήτῳ κατὰ πάντα γεγενημένῳ, κίν-
δυνος δ' ἐπιπίπτει τὴν ὑπὲρ τῶν ὅλων κρίσιν ἐπάγων Ἀντώνιον Καίσαρος ἐν τῇ κατ'
162 Ἀκτίον μάχῃ νενικηκότος· τότε γὰρ ἀπέγνωστο αὐτῷ τὲ Ἡρώδῃ τὰ πράγματα καὶ τοῖς
περὶ αὐτὸν ὁμοίως ἐχθροῖς τε καὶ φίλοις· οὐ γὰρ ἦν εἰκὸς ἀτιμώρητον μένειν τοσαύτης
164 αὐτῷ πρὸς Ἀντώνιον φιλίας γεγενημένης. Ἡρώδης δὲ τὸν Ὑρκανὸν μόνον ὁρῶν ἐπ' ἀξιώ-
ματος βασιλικοῦ συμφέρειν ᾤετο μηκέτι ἐμποδὼν ἐᾶν, εἰ μὲν περισωθείη καὶ διαφύγῃ τὸν
κίνδυνον, ἀσφαλὲς ἡγούμενος πρὸς τὸ μὴ τοῖς τοιούτοις καιροῖς ἐφορμεῖν ἄνδρα τυχεῖν
τῆς βασιλείας ἀξιώτερον, εἰ δὲ καὶ πάσχοι τί διὰ Καίσαρος, φθόνῳ τὸν μόνον ἐπὶ τῆς
165 βασιλείας γενησόμενον ἐπιθυμῶν ἐξελεῖν. ταῦτα δὲ δι' ἐννοίας ἔχοντος ἐνεδόθη τί καὶ
παρ' ἐκείνου· ὁ μὲν γὰρ Ὑρκανὸς ἐπιεικείᾳ τρόπου καὶ τότε καὶ τὸν ἄλλον χρόνον οὐκ
166 ἠξίου πολυπραγμονεῖν οὐδὲ νεωτέρων ἅπτεσθαι, φιλόνεικος δὲ ἦν Ἀλεξάνδρα καὶ τὴν

8 i. marg. η' Busb. — 23 χωρίσαντες man. 1 Busb. — ἐναντίους, inter ν et τ 2 litt. erasae Busb. — 26 Ἡρώδην, litt. ην in ras. Busb. — 31 τοῖς] τῆς Busb.



Zonaras I p. 427 Bonn.

ἐλπίδα τῆς μεταβολῆς ἀκρατῶς φέρουσα λόγους ἐποιεῖτο πρὸς τὸν πατέρα, μὴ μέχρι παντὸς
ἀναμεῖναι τὴν τοῦ Ἡρώδου παρανομίαν εἰς τὸν αὐτῶν οἶκον, καὶ γράφειν ἠξίου περὶ 167
τούτων Μάλχῳ τῷ τὴν Ἀραβίαν ἔχοντι δέξασθαί τε αὐτοὺς καὶ δι' ἀσφαλείας ἔχειν.
ταῦτα πειθούσης ὁ μὲν Ὑρκανὸς διωθεῖ τοὺς λόγους, φιλόνεικον δέ τι πεπονθυίας καὶ ἀεὶ 168
περὶ τούτων διαλεγομένης, ἀνεπείσθη τέλος ἐπιστολὴν δοῦναι Δοσιθέῳ τινὶ τῶν περὶ
αὐτὸν φίλων, ἐν ᾗ συντέτακτο πέμψειν αὐτῷ τὸν Ἄραβα τοὺς ἀναληψομένους καὶ πέμ-
ψοντας ἐπὶ τὴν Ἀσφαλτίτιν λίμνην· αὕτη δὲ ἀπέχει τῶν Ἱεροσολυμιτῶν ὁρῶν σταδίους
τριακοσίους. ἐπίστευσε δὲ τῷ Δοσιθέῳ πρὸς Ἡρώδην δυσνοίας οὐ μικρὰς αἰτίας ἔχοντι. 169
οὐ μὴν ἐπήγαγε ταῦτα τὸν Δοσίθεον Ὑρκανῷ πιστὸν γίνεσθαι, ἀλλ' ἐπιδίδωσιν Ἡρώδῃ 170
τὴν ἐπιστολήν. ὁ δὲ τῆς εὐνοίας ἀποδεξάμενος ἔτι καὶ τοῦτο προσυπουργήσειν παρεκε- 171
λεύσατο, ἀποδοῦναι τῷ Μάλχῳ τὴν ἐπιστολὴν καὶ τὰ παρ' ἐκείνου γράμματα λαβεῖν·
οὐ γὰρ μικρὸν τὸ διάφορον καὶ τὴν ἐκείνου γνώμην αὐτὸν εἰδέναι. ταῦτα δὲ 172
τοῦ Δοσιθέου προθύμως ὑπουργήσαντος ὁ μὲν Ἄραψ ἀντεπέστελλεν αὐτὸν τὲ Ὑρκανὸν
δέχεσθαι καὶ τοὺς σὺν αὐτῷ πάντας ἢ καὶ Ἰουδαίους ὅσοι τὰ ἐκείνου φρονοῦσι,
δύναμιν τὲ πέμψειν τὴν μετ' ἀσφαλείας αὐτοὺς κομίσουσαν. ὡς δὲ καὶ ταύτην Ἡρώδης 173
ἐδέξατο τὴν ἐπιστολήν, εὐθὺς μεταπέμπεται τὸν Ὑρκανὸν καὶ περὶ τῶν πρὸς τὸν Μάλχον
ἀνέκρινε συνθηκῶν. ἀρνησαμένου δὲ τὰς ἐπιστολὰς δείξας τῷ συνεδρίῳ διεχειρίσατο τὸν
ἄνδρα. ταῦτα δὲ γέγραπται ὡς ἐν τοῖς ὑπομνήμασι τοῦ βασιλέως Ἡρώδου περιείχετο· 174
οἱ γὰρ ἄλλοι τὸν Ἡρώδην οὐκ ἐπὶ τοιούτοις δοκοῦσιν, ἀλλ' ἐπιβουλῆς μᾶλλον Ὑρκανῷ τὴν
αἰτίαν ἐπάγοντα ἀποκτεῖναι· τεκμήρια δὲ τοῦ μηδὲν ἁμαρτόντα τοιούτῳ τέλει περιπεσεῖν 177
λογίζονται τὴν ἐπιείκειαν τοῦ τρόπου καὶ τὸ μὴ ἐν νεότητι θράσους ἢ προπετείας ἐπί-
δειξιν πεποιῆσθαι μηδὲ ὅτε τὴν βασιλείαν αὐτὸς εἶχε. τότε δὲ ἑνὸς πλείω ἢ ὀγδοήκοντα 178
γεγονὼς ἐτύγχανεν ἔτη, κρατοῦντα δὲ μετὰ πάσης ἀσφαλείας τὸν Ἡρώδην ἠπίστατο. διὰ
ταῦτα καὶ πλείω ἕτερα σκῆψιν Ἡρώδου τὰ κατὰ τὸν Ὑρκανὸν ἐνενόουν γενέσθαι. ὁ δὲ 183
βασιλεὺς ὡς καὶ τὸν Ὑρκανὸν ἐκποδὼν ἐποιήσατο, σπεύδων πρὸς Καίσαρα καὶ μηδὲν
ἐλπίσαι δυνάμενος χρηστόν, ὕποπτον μὲν εἶχε τὴν Ἀλεξάνδραν, παρετίθετο δὲ πάντα 184
Φερώρᾳ τἀδελφῷ, καὶ τὴν μητέρα Κύπρον καὶ τὴν ἀδελφὴν καὶ τὴν γενεὰν ἅπασαν ἐν
Μασάδοις κατεστήσατο παρακελευσάμενος, εἴ τι περὶ αὐτὸν ἀκούσαιεν δυσχερές, ἔχεσθαι
τῶν πραγμάτων. Μαριάμην δὲ τὴν αὐτοῦ γυναῖκα ἐν Ἀλεξανδρείῳ σὺν Ἀλεξάνδρᾳ τῇ 185
μητρὶ κατεστήσατο Ἰώσηπον τὸν ταμίαν καὶ τὸν Ἰτουραῖον Σόεμον ἐπ' αὐτῶν καταλιπών,
πιστοτάτους μὲν γενομένους αὐτῷ, τότε δὲ προφάσει τιμῆς φρουρεῖν ἀπολειφθέντας τὰς
γυναῖκας. ἦν δὲ κἀκείνοις ἐντολὴ μαθόντας τί περὶ αὐτοῦ δυσχερὲς ἐξ αὐτῆς ἀμφοτέρας 186
διαχειρίσασθαι, τὴν δὲ βασιλείαν εἰς δύναμιν τοῖς παισὶν αὐτοῦ σὺν τἀδελφῷ Φερώρᾳ
διατηρεῖν. ταύτας δοὺς τὰς ἐντολὰς αὐτὸς εἰς Ῥόδον ἠπείγετο Καίσαρι συντυχεῖν. καὶ 187
ἐπειδὴ κατέπλευσεν εἰς τὴν πόλιν, ἀφῄρητο μὲν τὸ διάδημα, τοῦ δὲ ἄλλου περὶ αὐτὸν
ἀξιώματος οὐδὲν ὑφῆκεν, ἀλλ' ὅτε καὶ κοινολογῆσαι λόγου κατὰ τὴν συντυχίαν ἠξιώθη,
πολὺ μᾶλλον ἐνέφηνε τὸ μεγαλεῖον τοῦ κατ' αὐτὸν φρονήματος, οὔτε εἰς ἱκεσίας, ὡς εἰκὸς 188
ἐπὶ τοιούτοις, τραπόμενος οὔτε δέησίν τινα προτείνων ὡς ἐφ' ἡμαρτημένοις,

4 διωθεῖ] διωθεῖτο Iosephus. — πεπονθείας Busb. — 7 ὅρων Iosephus. — 15 μετ' ἀσφαλείας] inter ά et σ rasura 1 litterae Busb. — 19 δοκοῦσι man. 1 Busb. — 24 ἐνεννόουν man. 1 Busb. — 36 κοινολογῆσαι] sic Busb. κοινωνῆσαι Iosephus.

Zonaras I p. 428 Bonn.

194 ἀποδοὺς δὲ τὸν λογισμὸν τῶν πεπραγμένων ἀνυποτιμήτως. καὶ τὸ τῆς ψυχῆς
ἐμφαίνων ἐν ἅπασιν ἐλευθέριον οὐ μετρίως ἐπεσπάσατο τὸν Καίσαρα, ὥστε αὐτῷ
τὰς τῶν ἐγκλημάτων αἰτίας σύστασιν ἤδη τῆς πρὸς ἐκεῖνον εὐνοίας πραγματεύεσθαι.
195 196 καὶ τό τε διάδημα πάλιν ἀποκαθίστησιν αὐτῷ καὶ διὰ πάσης ἦγε τιμῆς. τοσαύτης
ἀποδοχῆς ἠξιωμένος καὶ παρ' ἐλπίδας ὁρῶν αὐτῷ πάλιν ἐξ ὑπαρχῆς βεβαιοτέραν
τὴν βασιλείαν παρέπεμψεν ἐπ' Αἴγυπτον Καίσαρα δωρησάμενος ὑπὲρ δύναμιν αὐτόν τε
197 καὶ τοὺς φίλους καὶ πᾶσαν ἐμφαίνων μεγαλοψυχίαν. ᾐτεῖτο δὲ καὶ τῶν Ἀντωνίῳ συνήθων
198 Ἀλέξανδρον, ἀλλὰ τούτου μὲν οὐκ ἔτυχεν, ἐπανῄει δὲ πάλιν εἰς τὴν Ἰουδαίαν πλείονί τε
τιμῇ καὶ παρρησίᾳ καὶ τοῖς τὰ ἐναντία προσδοκήσασιν ἔκπληξιν παρέσχεν. εὐθὺς μὲν
οὖν περὶ τὴν ὑποδοχὴν ἐγεγόνει Καίσαρος ἀπὸ Συρίας εἰς Αἴγυπτον ἐμβαλεῖν μέλλοντος.
199 καὶ δέχεται μὲν αὐτὸν ἐν Πτολεμαΐδι πάσῃ τιμῇ βασιλικῇ, παρέσχε δὲ τῷ στρατεύματι
200 ξένια καὶ τῶν ἐπιτηδείων ἀφθονίαν καὶ τοῖς εὐνουστάτοις ἐξητάζετο. αὐτόν γε μὴν
201 Καίσαρα ταλάντοις ὀκτακοσίοις ἐδωρήσατο καὶ πάλιν ἐπανιόντων ἀπ' Αἰγύπτου τῶν
πρώτων οὐδὲν εἰς τὰς ὑπηρεσίας ἥττων ἐφάνη.

202 Γενόμενος δ' ἐν τῇ βασιλείᾳ τεταραγμένην αὐτῷ τὴν οἰκίαν καταλαμβάνει καὶ χαλε-
203 πῶς ἐχούσας τήν τε Μαριάμην καὶ τὴν μητέρα ἐκείνης Ἀλεξάνδραν. οἰηθεῖσαι γάρ, ὅπερ
ἦν, οὐκ εἰς ἀσφάλειαν τῶν σωμάτων εἰς ἐκεῖνο κατατεθῆναι τὸ χωρίον, ἀλλ' ὡς ἐν φρουρᾷ
204 μηδενὸς μήτε τῶν ἄλλων μήτε ἑαυτῶν ἐξουσίαν ἔχοιεν, χαλεπῶς ἔφερον. ἥ τε Μαριάμη
τὸν ἔρωτα τοῦ βασιλέως ὑπόκρισιν ὑπελάμβανεν, ἤχθετο δὲ τῷ μηδὲ εἰ πάσχοι τί δεινὸν
ἐκεῖνος ἐλπίδα τοῦ βιώσεσθαι δι' αὐτὸν ἐσχηκέναι, ὥστε ἤδη διὰ θεραπείας εἶχε τοὺς
205 φρουροὺς καὶ μᾶλλον τὸν Σόεμον, ἐν ἐκείνῳ τὸ πᾶν ἐπισταμένη. Σόεμος δὲ κατὰ μὲν τὰς
ἀρχὰς πιστὸς ἦν οὐδὲν ὧν Ἡρώδης ἐντέταλτο παρείς, λόγοις δὲ καὶ δωρεαῖς λιπαρέστερον
τῶν γυναικῶν ἐκθεραπευουσῶν αὐτὸν ἡττᾶτο κατὰ μικρὸν ἤδη καὶ τέλος ἐξεῖπε τὰς ἐντολὰς
208 ἁπάσας τοῦ βασιλέως, Μαριάμη δὲ χαλεπῶς ἤκουσε, χαλεπῶς δὲ διέκειτο. καὶ τοῦτο
209 ἔδειξεν ἐν ὑστέρῳ μηδὲν ἐπικρυψαμένη τοῦ κατ' αὐτὴν πάθους· ὁ μὲν γὰρ ἐπὶ μεγάλοις
οἷς παρ' ἐλπίδας ηὐτυχήκει καταπεπλευκὼς πρώτῃ τῇ γυναικί, ὡς εἰκός, περὶ τούτων
210 εὐηγγελίζετο, μόνην δὲ ἐκ πάντων διὰ τὸν ἔρωτα προτιμῶν ἠσπάζετο. τῇ δὲ οὔτε τὰς
εὐημερίας διηγουμένου χαίρειν μᾶλλον ἢ χαλεπῶς φέρειν συνέβαινεν οὔτε ἐπικρύπτεσθαι
τὸ πάθος δυνατὸν ἦν, ἀλλ' ὑπ' ἀξίας καὶ τῆς περιούσης εὐγενείας πρὸς τοὺς μὲν ἀσπα-
σμοὺς ἀνέστενε, τοῖς δὲ διηγήμασιν ἄχθεσθαι μᾶλλον ἢ συγχαίρειν ἐνέφαινεν, ὡς οὐχ
211 ὕποπτα μόνον ἀλλὰ καὶ καταφανῆ γινόμενα τὸν Ἡρώδην ἐκταράττειν. ἠδημόνει γὰρ
ὁρῶν τὸ παράλογον τῆς γυναικὸς εἰς αὐτὸν μῖσος, ἤχθετο δὲ καὶ τὸν ἔρωτα φέρειν ἀδυ-
νατῶν ταῖς τε ὀργαῖς καὶ ταῖς διαλλαγαῖς οὐκ ἐνέμενεν, ἀεί δ' ἀπὸ θατέρου μετῄει πρὸς
212 θάτερον. οὕτως οὖν ἐν μέσῳ τοῦ δυστυχεῖν καὶ στέργειν ἀποληφθεὶς καὶ πολλάκις
ἕτοιμος ὢν ἀμύνασθαι τῆς ὑπερηφανίας αὐτὴν διὰ τὸ προκατειλῆφθαι τὴν ψυχὴν ἀσθε-
νέστερος εἰς τὸ μεταστῆσαι τὴν ἄνθρωπον ἐγίνετο. τὸ δὲ σύμπαν ἐδεδοίκει, μὴ λάθῃ
213 κολάσας ἐκείνην μείζονα πάσχων αὐτὸς θανούσης. συνιδοῦσαι δὲ αὐτὸν οὕτως ἔχοντα
πρὸς τὴν γυναῖκα ἥ τε ἀδελφὴ καὶ ἡ μήτηρ διελάλουν οὐ μικραῖς παροξύνουσαι τὸν

αι

12 καί] κἂν Iosephus. — 15 i. marg. ια' Busb. — 20 βιώσασθαι man. 1 Busb. — 28 συνέβενεν Busb· — 33 διαλαγαῖς man. 1 Busb. — μετῄει] μεταβαίνων Iosephus. — 36 τὴν ex τὸν corr. man. 2 Busb. — 38 μικραῖς ex μικρᾶς corr. Busb.



Zonaras I p. 429 Bonn.

Ἡρώδην διαβολαῖς μῖσος ὁμοῦ καὶ ζηλοτυπίαν ἐμποιεῖν δυναμέναις. ὁ δὲ οὔτε τῶν 214
τοιούτων ἀηδῶς ἤκουε λόγων οὔτε δρᾶν τί κατὰ τῆς γυναικὸς ὡς πεπιστευκὼς ἐπεθάρρει,
χεῖρον μέντοι πρὸς αὐτὴν εἶχεν ἀεὶ καὶ τὸ πάθος ἀντεξεκαίετο, τῆς μὲν οὐκ ἀποκρυπτο-
μένης τὴν διάθεσιν, τοῦ δὲ τὸν ἔρωτα πρὸς ὀργὴν ἀεὶ μεταβάλλοντος. κἂν ἐπράχθη 215
τί τῶν ἀνηκέστων εὐθύς, νῦν δὲ Καίσαρος ἀγγελθέντος κρατεῖν τῷ πολέμῳ καὶ τεθνηκότων
Ἀντωνίου καὶ Κλεοπάτρας εἰς τὴν Αἴγυπτον ἐπειγόμενος εἰς τὸ Καίσαρι ἀπαντᾶν κατέ-
λιπεν ὡς εἶχε τὰ περὶ τὴν οἰκίαν. ἐξιόντι δὲ Μαριάμη παραστησαμένη τὸν Σόεμον 216
πολλήν τε χάριν τῆς ἐπιμελείας ὡμολόγει καὶ μεριδαρχίαν αὐτῷ παρὰ τοῦ βασιλέως ᾐτή-
σατο. κἀκεῖνος μὲν τυγχάνει τῆς τιμῆς. Ἡρώδης δὲ γενόμενος ἐν Αἰγύπτῳ μεγίστων 217
ἠξιώθη· τῶν τε γὰρ Κλεοπάτραν δορυφορούντων Γαλατῶν τετρακοσίοις ὁ Καῖσαρ αὐτὸν
ἐδωρήσατο καὶ τὴν χώραν ἀπέδωκεν αὐτῷ πάλιν, ἣν δι' ἐκείνης ἀφῃρέθη, προσέθηκε δὲ
τῇ βασιλείᾳ καὶ ἕτερα. ἐπιτυχών δε τούτων λαμπρότερος ἦν, καὶ τὸν μὲν Καίσαρα παρέ- 218
πεμψεν ἐπ' Ἀντιοχείᾳ, αὐτός δ' ἐπανῆλθε τοῖς μὲν ἔξωθεν ἐπιδιδούς, τοῖς δ' οἰκείοις
κάμνων ὡς μάλιστα· ἔρωτα μὲν γὰρ οὐδενὸς ἐλάττω τῶν ἱστορουμένων ἐπεπόνθει τῆς
Μαριάμης, ἡ δὲ τὰ μὲν ἄλλα σώφρων καὶ πιστὴ ἦν πρὸς αὐτόν, εἶχε δὲ καὶ γυναικεῖον 219
ὁμοῦ τί καὶ χαλεπὸν ἐκ φύσεως, ἱκανῶς μὲν ἐντρυφῶσα δεδουλωμένῳ διὰ τὸν ἔρωτα καὶ
τὸ βασιλεύεσθαι καὶ κρατεῖν ἄλλον αὐτῆς οὐ συγκαταλογιζομένη τῷ καιρῷ πολλάκις μὲν
ὑβριστικῶς αὐτῷ προσηνέχθη καὶ τοῦτο ἐκεῖνος ἐξειρωνευόμενος ἔφερεν ἐγκρατῶς, ἀναφαν- 220
δὸν δὲ τὴν μητέρα καὶ τὴν ἀδελφὴν ἐπὶ δυσγενείᾳ διεχλεύαζε καὶ κακῶς ἔλεγεν, ὥστε ἤδη
στάσιν ἐν ταῖς γυναιξὶν εἶναι καὶ μῖσος ἄσπονδον. τέλεον μέντοι προοικονομούμενον ἐκ 221
πλείονος ἐξερράγη τοιαύτης ἀφορμῆς γενομένης· κατακλινόμενος ὁ βασιλεὺς ὡς ἀναπαύσασθαι 222
μεσημβρίας οὔσης ἐκάλει τὴν Μαριάμην ὑπὸ φιλοστοργίας. ἡ δὲ εἰσῆλθε μέν, οὐ μὴν
κατεκλίθη ἐκφαυλίσασα καὶ προσλοιδορηθεῖσα τόν τε πάππον καὶ τὸν ἀδελφὸν αὐτῆς ὡς
ἀποκτείνοι. χαλεπῶς δ' ἐκείνου τὴν ὕβριν ἐνηνοχότος καὶ γεγονότος εἰς προπέτειαν ἑτοίμου, 223
τῆς ταραχῆς αἰσθομένη μείζονος ἡ τοῦ βασιλέως ἀδελφὴ Σαλώμη παρεσκευασμένον ἐκ
πλείστου τὸν οἰνοχόον εἰσπέμπει κελεύουσα λέγειν, ὡς πειθοῖ Μαριάμης φίλτρον αὐτῇ
συγκατασκευάσαι τῷ βασιλεῖ. κἂν ταραχῇ καὶ πυνθάνηται, τί ποτε ταῦτα ἦν, λέγειν ὅτι 224
φάρμακον μὲν ἐχούσης ἐκείνης αὐτοῦ δὲ διακονῆσαι παρακαλουμένου, νικηθέντος δὲ ἐπὶ τῷ
φίλτρῳ τὸν λόγον ἀργὸν ἐᾶν· οὐδένα γὰρ αὐτῷ κίνδυνον φέρειν. τοιαῦτα προδιδάξασα
κατ' ἐκεῖνον τὸν καιρὸν πέμπει διαλεξόμενον. ὁ δὲ πιθανῶς ἅμα καὶ μετὰ σπουδῆς εἰσῄει, 225
δῶρα μὲν αὐτῷ τὴν Μαριάμην παρεσχηκέναι λέγων, ἀναπείθειν τὲ φίλτρον αὐτῷ διδόναι.
πρὸς τοῦτο διακινηθέντος τὸ φίλτρον ἔλεγε φάρμακον εἶναι ὑπ' ἐκείνης διδόμενον, οὗ
τὴν δύναμιν αὐτὸς οὐκ εἰδέναι. τοιούτων ἀκούσας Ἡρώδης λόγων ἔτι μᾶλλον ἠρεθίσθη, 226
τόν τε οἰνοχόον, ὃς ἦν τῇ Μαριάμῃ πιστότατος, ἐβασάνιζεν ὑπὲρ τοῦ φαρμάκου γινώσκων,
ὡς οὐ χωρὶς ἐκείνου δυνατὸν ἦν οὔτε μεῖζον οὔτε ἔλαττον πεπρᾶχθαι. ὁ δὲ ἐν ταῖς ἀνάγκαις 227
γενόμενος οὐδὲν μὲν ὧν ἐβασανίζετο ἕνεκεν λέγειν εἶχε, τὸ μέντοι τῆς γυναικὸς ἔχθος εἰς
αὐτὸν ἔφη γενέσθαι διὰ τοὺς λόγους, οὓς ὁ Σόεμος αὐτῇ φράσειε. ταῦτα δὲ ἔτι λέγοντος 228
μέγα βοήσας ὁ βασιλεὺς οὐκ ἂν ἔφη Σόεμον καταπροδοῦναι τὰς ἐντολάς, εἰ μὴ καὶ

16 τὸν ἔρωτα] τὴν ἐπιθυμίαν Iosephus. — 17 συγκαταλογιζομένη, litt. ζο supra versum suppl. man. 2 Busb. — 27 ταραχθῇ ex corr. man. 2 Busb. — 28 νινηθέντος, κ in ras. Busb. μὴ κινηθέντος Iosephus. — 31 τὲ] δὲ Iosephus. — 34 ὑπὲρ ex ὑπὸ corr. Busb. — 35 πεπράχθαι ex πεπράχθη corr. Busb.

Zonaras I p. 430 Bonn.

229 περαιτέρω προεληλύθει τῆς πρὸς Μαριάμην κοινωνίας. καὶ τὸν μὲν Σόεμον εὐθὺς ἐκέλευσεν
ἀποκτεῖναι· τῇ δὲ γυναικὶ κρίσιν ἀπεδίδου συναγαγὼν τοὺς οἰκειοτάτους αὐτῷ καὶ τὴν
κατηγορίαν ἐσπουδασμένως ποιούμενος ὑπὲρ τῶν κατὰ τὰς διαβολὰς φίλτρων καὶ φαρμά-
κων. ἦν δὲ ἀκρατὴς μὲν τῷ λόγῳ καὶ κρίσεως ὀργιλώτερος, καὶ τέλος οὕτως ἔχοντα γινώ-
230 σκοντες αὐτὸν οἱ παρόντες θάνατον αὐτῆς κατεψηφίσαντο. διενεχθείσης δὲ τῆς γνώμης
ὑπεγένετο μέν τι καὶ τοιοῦτον αὐτῷ τὲ καί τισι τῶν παρόντων μὴ προπετῶς οὕτως
231 ἀναιρεῖν, καταθέσθαι δὲ εἰς ἕν τι τῶν τῇ βασιλείᾳ φρουρίων. ἐσπουδάσθη δὲ ταῖς περὶ
τὴν Σαλώμην ἐκποδὼν ποιήσασθαι τὴν ἄνθρωπον καὶ μᾶλλον ἔπεισαν τὸν βασιλέα τὰς
ταραχὰς τοῦ πλήθους, εἰ ζῶσα τύχοι, φυλάξασθαι συμβουλεύουσαι. Μαριάμη δὲ οὕτως
232 ἤγετο τὴν ἐπὶ θανάτῳ. συνθεωρήσασα δὲ τὸν καιρὸν ἡ Ἀλεξάνδρα, ὅτι μικρὰς ἐλπίδας
ἔχοι μὴ καὶ αὐτὴ τῶν ὁμοίων ἐξ Ἡρώδου τυχεῖν, ἐναντίως πρὸς τὸ πρῶτον θράσος καὶ
233 λίαν ἀπρεπῶς μετεβάλετο· βουλομένη γὰρ ἐμφῆναι τὴν ἄγνοιαν ὧν ἐκείνη τὰς αἰτίας εἶχεν,
ἐκπηδήσασα καὶ λοιδορουμένη τῇ θυγατρὶ πάντων ἀκουόντων ἐβόα κακὴν καὶ ἀχάριστον
234 πρὸς τὸν ἄνδρα γενέσθαι καὶ δίκαια πάσχειν ἐπὶ τοιούτοις τολμήμασι. τοιαύτης μεταξὺ
καθυποκρινομένης ἀσχημόνως καὶ τολμώσης ἐφάπτεσθαι καὶ τῶν τριχῶν, πολλὴ μέν, ὡς
εἰκός, καὶ παρὰ τῶν ἄλλων ἡ κατάγνωσις ἦν τῆς ἀπρεποῦς προσποιήσεως, μᾶλλον δ'
235 ἐφάνη παρ' αὐτῆς τῆς ἀπολλυμένης· οὔτε γὰρ λόγον δοῦσα τὴν ἀρχὴν οὔτε ταραχθεῖσα
πρὸς τὴν ἐκείνης δυσχέρειαν ἐπέβλεπεν, ἀλλ' ὡς ὑπὸ φρονήματος τὴν ἁμαρτίαν καὶ μᾶλλον
236 ἄχθεσθαι περιφανῶς ἀσχημονούσης ἐνέφαινεν. αὐτή γε μὴν ἀτρεμαίῳ τῷ καταστήματι
καὶ τῇ χρόᾳ τῆς σαρκὸς ἀμεταβλήτῳ πρὸς τὸν θάνατον ἀπήει, τὴν εὐγένειαν οὐδὲ ἐν τοῖς
237 ἐσχάτοις ἄδηλον τοῖς θεωροῦσιν ἐμφαίνουσα. κἀκείνη μὲν οὕτως ἀπέθανε γυνὴ καὶ πρὸς
ἐγκράτειαν καὶ πρὸς μεγαλοψυχίαν ἄριστα γεγενημένη, τὸ δὲ ἐπιεικὲς ἔλειπεν αὐτῇ, καὶ πλεῖον
ἦν ἐν τῇ φύσει τὸ φιλόνεικον· κάλλει δὲ σώματος καὶ τῷ περὶ τὰς ἐντεύξεις ἀξιώματι μεῖζον ἢ
240 ὡς φράσαι τὰς κατ' αὐτὴν ὑπερῇγεν. ἀναιρεθείσης δὲ αὐτῆς τότε καὶ μᾶλλον ἐξήφθη τὰ περὶ
241 τὴν ἐπιθυμίαν τοῦ βασιλέως ἔχοντος μὲν οὕτως ὡς καὶ πρώην ἐδηλώσαμεν· τότε μέντοι καὶ
μᾶλλον ἐπιδεδώκει κατὰ νέμεσίν τινα τῆς πρὸς τὴν Μαριάμην ἀπωλείας, καὶ πολλάκις
μὲν ἀνακλήσεις ἦσαν αὐτῆς, πολλάκις δὲ καὶ θρῆνος ἀσχήμων, ἐπενόει δὲ πᾶν εἴ τι
242 δυνατὸν εἰς ψυχαγωγίαν πότους καὶ συνουσίας αὐτῷ πραγματευόμενος. τὰς οὖν διοικήσεις
τῶν κατὰ τὴν βασιλείαν παρῃτεῖτο καὶ τοσοῦτον ἥττητο τοῦ πάθους, ὥστε αὐτὸν ἤδη καὶ
243 καλεῖν τὴν Μαριάμην προστάξαι τοῖς ὑπηρέταις. οὕτω δ' ἔχοντος ἐπιγίνεται λοιμώδης
νόσος, ἣ καὶ τῶν ὄχλων τοὺς πλείους καὶ τῶν φίλων αὐτοῦ τοὺς ἐντιμωτάτους διέφθειρε
καὶ παρέσχεν ἅπασιν ἔννοιαν, ὅτι κατὰ μῆνιν τοῦ θεοῦ τοῦτο συνηνέχθη διὰ τὴν γενο-
244 μένην παρανομίαν ἐπὶ τῇ Μαριάμῃ. χεῖρον οὖν διετίθει καὶ τοῦτο τὸν βασιλέα, καὶ τέλος
εἰς τὰς ἐρήμους αὐτὸν διαδοὺς καὶ προφάσει κυνηγεσίων ταύταις ἐναδημονῶν περιπίπτει
245 δυσχερεστάτῃ νόσῳ· φλόγωσις γὰρ ἦν καὶ πεῖσις ἰνίου καὶ τῆς διανοίας παραλλαγή.
246 κἀκεῖνος μὲν ἐν Σαμαρείᾳ τῇ κληθείσῃ Σεβαστῇ τοῦτον τὸν τρόπον ἐνοσηλεύετο.
247 διατρίβουσα δ' ἐν τοῖς Ἱεροσολύμοις Ἀλεξάνδρα καὶ πυθομένη τὰ κατ' αὐτὸν ἐσπουδάκει

1 παρ(ε supra)ατέρω Busb. — 3 ποιούμενος, litt. οιούμεν in ras. Busb. — 7 τῇ] ἐν τῇ Iosephus. —
14 τοιαῦτα Iosephus. — 15 ἐφαπταισθαι (ε supra), litt. α ante π in ras., ε supra versum posuit man. 2 Busb.



Zonaras I p. 431 Bonn.

τῶν περὶ τὴν πόλιν φρουρίων ἐγκρατὴς γενέσθαι. δύο δὲ ἦν, ἓν μὲν αὐτῆς τῆς πόλεως, 248
ἕτερον δὲ τοῦ ἱεροῦ, καὶ τούτων οἱ κρατοῦντες ὑποχείριον τὸ πᾶν ἔθνος ἐσχήκασι· τὰς
μὲν γὰρ θυσίας οὐκ ἄνευ τούτων οἷον τὲ γενέσθαι, τὸ δὲ μὴ ταῦτα συντελεῖν οὐδὲν Ἰου-
δαίοις δυνατὸν τοῦ ζῆν ἑτοιμότερον ἂν παραχωρησάντων ἢ τῆς θρησκείας, ἣν εἰς τὸν θεὸν
εἰώθασι συντελεῖν. τοῖς οὖν ἐπὶ τούτων τῶν φυλακτηρίων Ἀλεξάνδρα προσήνεγκε τοὺς 249
λόγους, ὡς δέον αὐτῇ καὶ τοῖς ἐξ Ἡρώδου παιδίοις παραδοῦναι, μὴ φθῇ τίς ἐκείνου
μεταλλάξαντος ἕτερος ἀντιλαβέσθαι τῶν πραγμάτων· ῥωσθέντι γὰρ οὐδὲν ἀσφαλέστερον
τῶν οἰκειοτάτων διατηρήσει. τούτους τοὺς λόγους αὐτῆς οὐκ ἐπιεικῶς ἤνεγκαν· φίλοι γὰρ 250
ἄνωθεν ἦσαν Ἡρώδου, εἷς δὲ αὐτῶν καὶ ἀνεψιὸς τοῦ βασιλέως Ἀχίαβος. εὐθὺς οὖν 251
ἐξήγγειλαν πέμψαντες ἐκείνῳ τὴν γνώμην τῆς Ἀλεξάνδρας. ὁ δὲ μηδὲν ἀναβαλόμενος ἀπο-
κτεῖναι προσέταξεν, αὐτὸς δὲ μόλις διαφυγὼν τὴν νόσον χαλεπὸς ἦν ψυχὴν καὶ σῶμα
κεκακωμένος ὁμοῦ πρὸς τὸ δυσάρεστον καὶ πάσαις αἰτίαις ἑτοιμότερον εἰς τιμωρίαν τῶν
ὑποπεσόντων ἐχρῆτο. φονεύει δὲ καὶ τοὺς ἀναγκαιοτάτους αὐτῷ φίλους Κοστόβαρον καὶ 252
Λυσίμαχον καὶ τὸν Γαδίαν καλούμενον Ἀντίπατρον ἔτι δὲ Δοσίθεον ἐξ αἰτίας τοιαύτης·
Κοστόβαρος ἦν γένει μὲν Ἰδουμαῖος, ἀξιώματος τῶν πρώτων παρ' αὐτοῖς καὶ προ- 253
γόνων ἱερατευσάντων τῷ Κοζέ· θεὸν δὲ τοῦτον Ἰδουμαῖοι νομίζουσιν. Ὑρκανοῦ δὲ τὴν 254
πολιτείαν αὐτῶν εἰς τὰ Ἰουδαίων ἔθη καὶ νόμιμα μεταστήσαντος Ἡρώδης παραλαβὼν
τὴν βασιλείαν ἄρχοντα τῆς Ἰδουμαίας καὶ Γάζης ἀποδείκνυσι Κοστόβαρον καὶ δίδωσιν αὐτῷ
τὴν ἀδελφὴν Σαλώμην Ἰώσηπον ἀνελὼν τὸν εἰληφότα πρότερον αὐτήν, ὡς ἐδηλώσαμεν.
τούτων δὲ Κοστόβαρος παρὰ δόξαν τυχὼν ἤρθη μάλα ὑπὸ τῆς εὐτυχίας καὶ διαπέμπεται 255 256
πρὸς Κλεοπάτραν τὴν Ἰδουμαίαν φάμενος ἀεὶ τῶν ἐκείνης προγόνων γεγενῆσθαι, καὶ διὰ
τοῦτο εἶναι δίκαιον αἰτεῖσθαι παρ' Ἀντωνίου τὴν χώραν. Κλεοπάτρα μὲν οὖν Ἀντωνίου 258
δεηθεῖσα περὶ τῆς χώρας ἀποτυγχάνει. λέγονται δὲ πρὸς Ἡρώδην οἱ λόγοι κἀκεῖνος
ἕτοιμος ἦν ἀποκτεῖναι τὸν Κοστόβαρον· ὅμως τῆς ἀδελφῆς αὐτοῦ καὶ τῆς μητρὸς δεηθείσης
ἀφίησι καὶ συγγνώμης ἠξίωσεν, οὐκ ἀνύποπτον αὐτὸν ἔχων εἰς τὸ λοιπόν. χρόνου δὲ 259
διελθόντος ἐπισυνέβη τὴν Σαλώμην στασιάσαι πρὸς τὸν Κοστόβαρον, καὶ πέμπει μὲν
εὐθὺς αὐτῷ γραμματεῖον ἀπολυομένη τὸν γάμον οὐ κατὰ τοὺς Ἰουδαίων νόμους· ἀνδρὶ
μὲν γὰρ ἔξεστι παρ' ἡμῖν τοῦτο ποιεῖν, γυναικὶ δὲ οὐδὲ διαχωρισθείσῃ κατ' αὐτὴν γαμη-
θῆναι μὴ τοῦ πρότερον ἀνδρὸς ἐφιέντος. οὐ μὴν ἡ Σαλώμη τὸν ἐγγενῆ νόμον, ἀλλὰ τὸν 260
ἐπ' ἐξουσίας ἑλομένη τήν τε συμβίωσιν προαπηγόρευσε καὶ πρὸς τὸν ἀδελφὸν Ἡρώδην
ἔλεγεν ὑπὸ τῆς εἰς ἐκεῖνον εὐνοίας ἀποστῆναι τοῦ ἀνδρός· ἐγνωκέναι γὰρ αὐτὸν μετὰ
Ἀντιπάτρου καὶ Λυσιμάχου καὶ Δοσιθέου νεωτέρων ἐφιέμενον. καὶ πίστιν παρεῖχε τοῦ
λόγου τοὺς Βάβα παῖδας, ὅτι διασῴζοιντο παρ' αὐτῶν ἐνιαυτοὺς ἤδη δεκαδύο. τοῦτο δὲ 261
εἶχεν οὕτω καὶ πολλὴν ἔκπληξιν ἐποίησε τῷ βασιλεῖ παρ' ἐλπίδας ἀκουσθέν. ἡ δὲ ἔχθρα 262
πρὸς τοὺς τοῦ Βάβα καὶ τὸ μῖσος ἀπὸ τοιούτων ἦν· Ἀντιγόνου τὴν βασιλείαν ἔχοντος
Ἡρώδης μὲν ἐπολιόρκει Ἱεροσόλυμα, ὑπὸ δὲ χρείας καὶ κακῶν, ὅσα τοῖς πολιορκουμένοις
παρίσταται, πλείους ἦσαν οἱ τὸν Ἡρώδην ἐπικαλούμενοι. ὄντες δ' ἐπ' ἀξιώματος οἱ τοῦ 263
Βάβα παῖδες καὶ παρὰ τῷ πλήθει δυνατοί, πιστοὶ διετέλουν Ἀντιγόνῳ τόν τε Ἡρώδην
διέβαλον. τῆς δὲ πόλεως ἁλισκομένης καὶ κρατοῦντος Ἡρώδου Κοστόβαρος ἀποδειχθεὶς 264

1 ἐγκρατὴς, litt. ης in ras. 5—6 litt. Busb. — 2 τούτων] τοῦτον Busb. — 3 τὸ] Iosephus τῇ Busb. —
10 ἀναβαλόμενος ex ἀναλαβόμενος correxit man. 2 Busb. — 29 ἀλλὰ τὸν] ἀλλὰ τὴν Busb.

φρουρεῖν τὴν πόλιν, ὡς μὴ διαπίπτειν ἐξ αὐτῆς τοὺς ὑποχρέους τῶν πολιτῶν ἢ τἀναντία
τῇ βασιλείᾳ πολιτευομένους, εἰδὼς ἐν ὑπολήψει καὶ τιμῇ τοὺς τοῦ Βάβα τῷ παντὶ πλήθει
265 ὑπεξέθετο καὶ κατέκρυψεν ἐν οἰκείοις χωρίοις. καὶ τότε μὲν Ἡρώδην πιστωσάμενος ὅρκοις
266 ἦ μὴν οὐδὲν εἰδέναι τῶν κατ᾽ ἐκείνους ἀφεῖτο τῆς ὑπονοίας. τούτων ἐξαγγελθέντων αὐτῷ
διὰ τῆς ἀδελφῆς ὁ βασιλεὺς πέμψας εἰς τοὺς τόπους, ἐν οἷς διατρίβειν ἐμηνύθησαν,
ἐκείνους τὲ καὶ τοὺς συγκαταιτιαθέντας ἀπέκτεινεν, ὥστε εἶναι μηδὲν ὑπόλοιπον ἐκ τῆς
Ὑρκανοῦ συγγενείας, ἀλλὰ τὴν βασιλείαν αὐτεξούσιον αὐτῷ τυγχάνειν μηδενὸς ὄντος ἐπ᾽
267 ἀξιώματος ἐμποδὼν ἵστασθαι τοῖς παρανομουμένοις. διὰ τοῦτο καὶ μᾶλλον ἐξέβαινε τῶν
πατρίων ἐθῶν καὶ ξενικοῖς ἐπιτηδεύμασιν ὑποδιέφθειρε τὴν πάλαι κατάστασιν ἀπαρεγ-
268 χείρητον οὖσαν. πρῶτον γὰρ ἀγῶνα πενταετηρικὸν ἀθλημάτων κατεστήσατο Καίσαρι καὶ
θέατρον ἐν Ἱεροσολύμοις ᾠκοδόμησεν, αὖθις τὲ ἐν τῷ πεδίῳ μέγιστον ἀμφιθέατρον,
269 περίοπτα μὲν ἄμφω τῇ πολυτελείᾳ, τοῦ δὲ τῶν Ἰουδαίων ἔθους ἀλλότρια. τὴν μέντοι
270 πανήγυριν τῆς πενταετηρίδος ἐπιφανεστάτην συνετέλει· οὐ γὰρ μόνον τοῖς περὶ τὰς
γυμνικὰς ἀσκήσεις, ἀλλὰ καὶ τοῖς ἐν τῇ μουσικῇ διαγενομένοις καὶ θυμελικοῖς καλουμένοις
271 προὐτίθει μέγιστα νικητήρια. προὔθηκε δὲ καὶ τεθρίπποις καὶ συνωρίσι καὶ κέλησιν οὐ
272 μικρὰς δωρεάς. τὸ τε μὴν θέατρον ἐπιγραφαὶ κύκλῳ περιεῖχον Καίσαρος καὶ τρόπαια
τῶν ἐθνῶν, ἃ πολεμήσας ἐκεῖνος ἐκτήσατο, χρυσοῦ τὲ ἀπέφθου καὶ ἀργυρίου πάντων
273 αὐτῷ πεποιημένων. παρασκευὴ δὲ καὶ θηρίων ἐγένετο λεόντων τὲ πλείστων αὐτῷ συνα-
χθέντων καὶ τῶν ἄλλων, ὅσα καὶ τὰς ἀλκὰς ὑπερβαλούσας ἔχει καὶ τὴν φύσιν ἐστι
274 σπανιώτερα· τούτων αὐτῶν τὲ πρὸς ἄλληλα συμπλοκαὶ καὶ μάχαι πρὸς αὐτὰ τῶν κατε-
γνωσμένων ἀνθρώπων ἐπετηδεύοντο, τοῖς μὲν ξένοις ἔκπληξις καὶ ψυχαγωγία, τοῖς δὲ ἐπι-
275 χωρίοις φανερὰ κατάλυσις τῶν τιμωμένων παρ᾽ αὐτοῖς ἐθῶν· ἀσεβὲς γὰρ κατεφαίνετο
276 θηρίοις ἀνθρώπους ὑπορίπτειν ἐπὶ τέρψιν ἀνθρώπων. πάντων δὲ μᾶλλον ἐλύπει τὰ
τρόπαια· δοκοῦντες γὰρ εἰκόνας τὰς τοῖς ὅπλοις περιειλημμένας, ὅτι μὴ πάτριον ἦν αὐτοῖς
277 τὰ τοιαῦτα σέβειν, οὐ μετρίως ἐδυσχέραινον. ἐλάνθανον δὲ οὐδὲ τὸν Ἡρώδην ἐκταραττό-
μενοι, καὶ βίαν μὲν ἐπάγειν ἄκαιρον ᾤετο, καθωμίλει δὲ ἐνίους καὶ παρηγόρει τῆς δεισι-
δαιμονίας ἀφαιρούμενος. οὐ μὴν ἔπειθεν, ἀλλ᾽ ὑπὸ δυσχερείας ὁμοθυμαδὸν ἐξεβόων, εἰ
καὶ πάντα δοκοῖεν οἰστά μὴ φέρειν εἰκόνας ἀνθρώπων ὁρᾶν ἐν τῇ πόλει, τὰ τρόπαια
278 λέγοντες. Ἡρώδης δὲ τεταραγμένους ὁρῶν καὶ μὴ ῥαδίως ἂν μεταπεσόντας, καλέσας
αὐτῶν τοὺς ἐπιφανεστάτους εἰς τὸ θέατρον παρήγαγε καὶ δείξας τὰ τρόπαια, τί ποτέ
279 ἐστιν εἰ δοκεῖ αὐτοὺς ἐπύθετο. τῶν δὲ ἐκβοησάντων ἀνθρώπων εἰκόνας, ἐπιτάξας
ἀφαιρεθῆναι τὸν περιθέσιμον κόσμον ἐπιδείκνυσιν αὐτοῖς γυμνὰ τὰ ξύλα. τὰ δὲ εὐθὺς
ἦν ἀποσυληθέντα γέλως καὶ πλεῖστον εἰς διάλυσιν ἠδυνήθη τὸ καὶ πρότερον αὐτοὺς ἐν
εἰρωνείᾳ τίθεσθαι τὰς κατασκευὰς τῶν ἀγαλμάτων.
280 Τοῦτον δὲ τὸν τρόπον αὐτοῦ παρακρουσαμένου τὸ πλῆθος καὶ τὴν ὁρμὴν ἣν ἐπε-
πόνθεισαν ἐξ ὀργῆς διαχέοντος, οἱ μὲν πλείους εἶχον ὡς μεταβεβλῆσθαι καὶ μὴ χαλεπαίνειν
281 ἔτι, τινὲς δὲ αὐτῶν ἐπέμενον τῇ δυσχερείᾳ καὶ τὸ καταλύεσθαι τὰ πάτρια μεγάλων ἀρχὴν
οἰόμενοι κακῶν ὅσιον ᾠήθησαν ἀποκινδυνεῦσαι μᾶλλον ἢ δοκεῖν ἐξαλλαττομένης αὐτοῖς

16 τε] γε Iosephus. — 26 καθωμίλλει man. 1 Busb. — 31 δοκεῖ] δοκεῖται, litt. ται expunctae Busb. — 38 οἰόμενοι] ἡγούμενοι Iosephus.



τῆς πολιτείας περιορᾶν Ἡρώδην πρὸς βίαν ἐπεισάγοντα τὰ μὴ δι᾽ ἔθους ὄντα, καὶ λόγῳ
μὲν βασιλέα, τῷ δὲ ἔργῳ πολέμιον φαινόμενον τοῦ παντὸς ἔθνους. ἐκ δὴ τούτων συνομο- 282
σάμενοι πάντα κίνδυνον ὑποδύεσθαι δέκα πολιτῶν ἄνδρες καὶ ξιφίδια τοῖς ἱματίοις ὑπο-
βαλόντες, ἀπὸ συνθήματος εἰς τὸ θέατρον ἐχώρουν, ἐλπίσαντες μὲν οὐδὲ αὐτὸν Ἡρώδην 284
διαφεύξεσθαι προσπεσόντων ἐξ ἀφανοῦς, πολλοὺς δέ, εἰ καὶ μὴ τυγχάνοιεν ἐκείνου, τῶν
περὶ αὐτὸν ἀναιρήσειν οἰόμενοι· καὶ ταῦτα αὐτοῖς ἀρκέσειν, εἰ καὶ θνήσκοιεν, εἰς ἔννοιαν
ὧν ὁ βασιλεὺς ἐξυβρίζειν ἐδόκει τὸ πλῆθος καὶ αὐτὸν ἐκεῖνον ἀγαγεῖν. ἐκεῖνοι μὲν οὖν 285
ἐπὶ τῆς αὐτῆς ἦσαν προθυμίας· εἷς δὲ καὶ τῶν ὑφ᾽ Ἡρώδου πολυπραγμονεῖν τὰ τοιαῦτα
τεταγμένων ἐξευρηκὼς ὅλην τὴν ὑπόθεσιν εἰς τὸ θέατρον εἰσιέναι μέλλοντι τῷ βασιλεῖ
κατεμήνυσεν. ὁ δὲ ἀναχωρήσας εἴς τι βασίλειον ὀνομαστὶ τοὺς ἐν ταῖς αἰτίαις ἐκάλει. 286
προσπιπτόντων δὲ αὐτοῖς τῶν ὑπηρετῶν αὐτόφωροι λαμβανόμενοι τὸ μὲν ὡς οὐκ ἂν δια- 287
φύγοιεν ᾔδεσαν, ἐπεκόσμησαν δὲ τὴν ἀναγκαίαν καταστροφὴν τοῦ τέλους τῷ μηδὲν ὑφιέναι
τοῦ φρονήματος· οὐ γὰρ ἀρνησάμενοι μὲν τὴν πρᾶξιν ἀνέδειξαν μὲν ἤδη κρατούμενοι τὰ 288
ξιφίδια, διωμολογήσαντο δὲ καλῶς καὶ σὺν εὐσεβείᾳ τὴν συνωμοσίαν αὐτοῖς γενέσθαι,
κέρδους μὲν οὐδενὸς οὐδὲ οἰκείων ἕνεκεν παθῶν, τὸ δ᾽ ἅπαν ὑπὲρ τῶν κοινῶν ἐθῶν, ἃ
καὶ πᾶσιν ἢ φυλάττειν ἢ θνήσκειν πρὸ αὐτῶν ἄξιον. τοιαῦτα μὲν ἐκεῖνοι παρρησιασά- 289
μενοι πᾶσαν αἰκίαν ὑπομείναντες διεφθάρησαν. μετ᾽ οὐ πολὺ δὲ καὶ τὸν ταῦτα μηνύ-
σαντα κατὰ μῖσος ἁρπασάμενοί τινες οὐκ ἀπέκτειναν μόνον, ἀλλὰ καὶ μελιστὶ διελόντες
προὔθεσαν κυσίν. ἑωρᾶτο δὲ πολλοῖς τῶν πολιτῶν τὰ γινόμενα καὶ κατεμήνυσεν οὐδείς, 290
ἕως ἐκβασανισθεῖσαι γυναῖκες τινὲς ὡμολόγησαν ἃ πραχθέντα εἶδον. καὶ τῶν μὲν ἐνερ-
γησάντων ἐγένετο τιμωρία πανοικί, ἡ δὲ ἐπιμονὴ τοῦ πλήθους καὶ τὸ ὑπὲρ τῶν νόμων 291
ἀκατάπληκτον οὐ ῥᾴδιον ἐποίει τὸν Ἡρώδην, εἰ μὴ μετὰ πλείονος ἀσφαλείας κρατῶν.
καὶ διέγνω πάντοθεν περιειληφέναι τὸ πλῆθος, ὡς μὴ νεωτεριζόντων φανερὰν γενέσθαι
τὴν ἀποστασίαν.
Κατὰ τοῦτον μὲν οὖν τὸν ἐνιαυτὸν τρισκαιδέκατον ὄντα τῆς Ἡρώδου βασιλείας πάθη 299
μέγιστα τὴν χώραν ἐπέλαβεν, εἴτε τοῦ θεοῦ μηνίσαντος ἢ καὶ κατὰ περιόδους οὕτως
ἀπαντήσαντος τοῦ κακοῦ· πρῶτον μὲν γὰρ αὐχμοὶ διηνεκεῖς ἐγένοντο, καὶ διὰ τοῦτο ἄκαρ- 300
πος ἡ γῆ μηδὲ ὅσα καθ᾽ ἑαυτὴν εἴωθε βλαστάνειν ἐκφέρουσα, ἔπειτα καὶ τῆς διαίτης
κατὰ τὴν ἔνδειαν τῶν σιτίων ἐξαλλαττομένης νόσοι τῶν σωμάτων καὶ πάθος ἤδη λοιμικὸν
ἐκράτει. φθαρέντων γε μὴν τῶν ἐπ᾽ ἔτος καρπῶν καὶ τῶν ὅσοι πρότερον ἀπέκειντο δεδα- 302
πανημένων, οὐδὲν εἰς ἐλπίδα χρηστὸν ὑπελείπετο μᾶλλον ἀεὶ κατὰ προσδοκίαν ἐπιτείνοντος
τοῦ κακοῦ, ὥστε αὐτοῖς εἶναι μὲν οὐδὲν ὑπόλοιπον, ἀπολωλέναι δὲ καὶ τῶν περιόντων τὰ
σπέρματα μηδ᾽ ἕτερον ἀνιείσης τῆς γῆς. ἥ τε ἀνάγκη πολλὰ διὰ τὰς χρείας ἐκαινούργει. 303
καὶ τὰς ἀπορίας οὐκ ἐλάττους εἶναι συνέβαινεν αὐτῷ τῷ βασιλεῖ, τῶν τε φόρων, οὓς
ἐλάμβανεν ἀπὸ τῆς γῆς, ἀφῃρημένῳ καὶ τὰ χρήματα δεδαπανηκότι εἰς φιλοτιμίας ὧν τὰς
πόλεις ἐπεσκεύαζεν. ἦν τὲ οὐδὲν ὃ καὶ βοηθείας ἄξιον ἐδόκει προκατειληφότος τοῦ κακοῦ 304
καὶ μῖσος εἰς αὐτὸν ἐκ τῶν ἀρχομένων· τὸ γὰρ οὐκ εὖ πράττειν φιλαίτιον ἀεὶ κατὰ τῶν
ἐφεστηκότων. ἐν τούτοις διενοεῖτο βοηθεῖν τῷ καιρῷ· χαλεπὸν δὲ ἦν οὔτε τῶν πλησίον 305

1 ἔθνους man. 1 Busb. — 2 συνωμοσάμενοι Busb. — 8 τῆς αὐτῆς] τοιαύτης Iosephus. — 10 τούς, ὑ in ras. Busb. — 11 αὐτόφοροι Busb. — 25 i. marg. ιβ′ Busb. — 31 ἀεὶ] ἢ Iosephus. — 32 ὑπόλοιπον in ras. Busb.

Zonaras I p. 432 Bonn.

ἐχόντων ἀποδίδοσθαι σιτία τῷ μηδὲ αὐτοὺς ἐλάττω πεπονθέναι, χρημάτων τὲ οὐκ ὄντων.
306 καλῶς μέντοι νομίζων ἔχειν ἐκ παντὸς εἰς τὴν βοήθειαν μὴ ἀμελεῖν, τὸν ὄντα κόσμον ἐν
307 τοῖς βασιλείοις αὐτοῦ συνέκοψεν ἀργυρίου καὶ χρυσίου. ἔπεμπε δὲ ἐπ᾽ Αἰγύπτου τὰ χρή-
ματα Πετρωνίου τὴν ἀρχὴν ἀπὸ Καίσαρος εἰληφότος. οὗτος οὐκ ὀλίγων ἐπ᾽ αὐτὸν κατα-
πεφευγότων διὰ τὰς αὐτὰς χρείας, ἰδίᾳ τὲ φίλος ὢν Ἡρώδῃ καὶ διασώσασθαι θέλων τοὺς
ὑπ᾽ αὐτῷ, πρώτοις μὲν ἐξάγειν τὸν σῖτον ἔδωκε καὶ εἰς ἅπαντα δὲ κατὰ τὴν ὠνὴν καὶ
308 τὸν ἔκπλουν συνήργησεν, ὡς μέγα μέρος ἢ τὸ πᾶν γενέσθαι ταύτης τῆς βοηθείας. ὁ γὰρ
Ἡρώδης τούτων ἀφικομένων οὐ μόνον ἀντιμετέστησε τὰς γνώμας τῶν πρότερον χαλεπῶς
309 ἐχόντων, ἀλλὰ καὶ μεγίστην ἐποιήσατο τὴν ἐπίδειξιν τῆς εὐνοίας. πρῶτον μὲν γὰρ ὅσοι
οἷόν τε ἦσαν δι᾽ αὐτῶν τὰ περὶ τὰς τροφὰς ἐκπονεῖν ἔνειμε σῖτον, ἔπειτα πολλῶν ὄντων,
οἳ κατὰ γῆρας ἢ τινὰ προσοῦσαν ἄλλην ἀσθένειαν ἀνικάνως εἶχον αὐτοῖς παρασκευάζειν
310 τὰ σιτία, προὐνόει καταστήσας ἀρτοποιοὺς καὶ παρέχων ἑτοίμους τὰς τροφάς. ἐπιμέλειαν
δὲ καὶ τοῦ μὴ διαχειμάσαι μετὰ κινδύνων αὐτοὺς ἐποιήσατο συγκατειληφυίας καὶ τῆς περὶ
τὰς ἐσθῆτας ἀπορίας, ἐφθαρμένων καὶ παντάπασιν ἀναλωθέντων τῶν βοσκημάτων, ὡς
311 οὔτε ἐρίων εἶναι χρῆσιν οὔτε τῶν ἄλλων σκεπασμάτων. ἐκπορισθέντων δὲ αὐτῷ καὶ
τούτων ταῖς πλησίον ἤδη πόλεσιν ἐπεβάλετο τὰς ὠφελείας παρέχειν σπέρματα τοῖς ἐν
Συρίᾳ διδούς. καὶ τοῦτο ὤνησεν οὐχ ἧττον αὐτὸν ἀστοχηθείσης εἰς εὐφορίαν τῆς χάριτος,
312 ὡς ἅπασιν ἱκανὰ τὰ περὶ τὰς τροφὰς γενέσθαι. τὸ δὲ σύμπαν ἀμητοῦ περὶ τὴν γῆν
ὑποφανέντος οὐκ ἔλαττον ἢ πέντε μυριάδας ἀνθρώπων, οὓς αὐτὸς ἔθρεψε καὶ περιεποίησεν,
εἰς τὴν χώραν διέπεμψε, καὶ τοῦτον τὸν τρόπον κακωθεῖσαν αὐτῷ τὴν βασιλείαν ὑπὸ
πάσης φιλοτιμίας καὶ σπουδῆς ἀναλαβὼν οὐχ ἥκιστα καὶ τοὺς πέριξ ἐν ταῖς αὐταῖς κακο-
313 παθείαις ὄντας ἐπεκούφισε· καὶ δῆμοι γὰρ καὶ πόλεις καὶ τῶν ἰδιωτῶν ὅσοις ἀπορία διὰ
τὸ πλειόνων προΐστασθαι συνετύγχανεν, ἐπ᾽ αὐτὸν καταφεύγοντες ἔσχον ὧν ἐδεήθησαν,
314 ὥστε γενέσθαι τοὺς μὲν ἔξω τῆς ἀρχῆς δοθέντας σίτου κόρους μυρίους, ὁ δὲ κόρος δύναται
315 μεδίμνους Ἀττικοὺς δέκα, τοῦ δὲ εἰς αὐτὴν τὴν βασιλείαν περὶ ὀκτάκις μυρίους. ταύτην
δὲ αὐτοῦ τὴν ἐπιμέλειαν καὶ τὴν τῆς χάριτος εὐκαιρίαν οὕτως ἐν αὐτοῖς τὲ τοῖς Ἰουδαίοις
ἰσχύσαι συνέβη καὶ διαβοηθῆναι παρὰ τοῖς ἄλλοις, ὥστε τὰ μὲν πάλαι μίση τοῦ μὲν
παντὸς ἔθνους ἐξαιρεθῆναι, ἀντικατάλλαγμα δὲ φαίνεσθαι τὴν ἐν τῇ βοηθείᾳ τῶν δεινο-
316 τάτων φιλοτιμίαν. εὔκλεια δὲ καὶ παρὰ τῶν ἔξωθεν ἦν· τὸ γὰρ ἐν ταῖς ἀπορίαις μεγα-
λόψυχον παρὰ δόξαν ἐπιδειξάμενος ἀντιμετέστησε τοὺς πολλούς.
317 Περὶ δὲ τὸν χρόνον ἐκεῖνον καὶ συμμαχικὸν ἔπεμψε Καίσαρι πεντακοσίους ἐπιλέκτους
τῶν σωματοφυλάκων, οὓς Γάλλος Αἴλιος ἐπὶ τὴν Ἐρυθρὰν θάλασσαν ἦγεν εἰς πολλὰ χρη-
318 σίμους αὐτῷ γενομένους. πάλιν οὖν αὐτῷ τῶν πραγμάτων εὐθηνουμένων βασίλειον
ἐξῳκοδόμει περὶ τὴν ἄνω πόλιν ὑπερμέγεθες κόσμῳ κατασκευάζων πολυτελεστάτῳ χρυσοῦ
319 καὶ λίθου καὶ περιαλειμμάτων. προσηγόρευσε τοὺς οἴκους τὸν μὲν Καίσαρος καλῶν, τὸν
δὲ Ἀγρίππα. προσέλαβεν μέντοι καὶ γάμον αὐτῷ κινηθεὶς ἐξ ἐρωτικῆς ἐπιθυμίας. ἀρχὴ
320 δὲ τῶν γάμων ἐγένετο τοιάδε· Σίμων ἦν Ἱεροσολυμίτης ἱερεὺς ἐν τοῖς γνωρίμοις, εἶχε δὲ
321 θυγατέρα καλλίστην τῶν τότε νομιζομένων. ὡς οὖν θεασάμενον αὐτὴν τὸν Ἡρώδην ἡ

4 οὕτως Busb. — 10 περὶ τὰς τροφὰς] Zonaras περὶ τροφὰς Busb. — 11 οἳ] ἢ Busb. — 17 εὐστοχηθείσης Iosephus. — 28 τὴν] τῶν Busb.



Zonaras I p. 433 Bonn.

τῆς παιδὸς ἐξέπληξεν ὥρα, τοῦ Σίμωνος ὄντος ἀδοξοτέρου ἢ πρὸς οἰκειότητα, μείζονος δὲ 322
ἢ καταφρονεῖσθαι, Ἰησοῦν μὲν τὸν τοῦ Φάβιτος ἀφαιρεῖται τὴν ἀρχιερωσύνην, Σίμωνα δὲ
καθίστησιν ἐπὶ τῆς τιμῆς καὶ τὸ κῆδος πρὸς αὐτὸν συνάπτεται τελεσθέντος αὐτῷ τοῦ 323
γάμου. προκατεσκευάσατο δὲ φρούριον ἔνθα ἐνίκα Ἰουδαίους, ὅτε τῆς ἀρχῆς ἐκπεσόντος
Ἀντιγόνου ἐπὶ τῶν πραγμάτων ἦν. τοῦτο δὲ φύσει ἐχυρόν ἐστι καὶ πρὸς κατασκευὴν 324
ἐπιτηδειότατον, ὡς εἶναι μαστοειδῆ τὴν περιφοράν, διείληπται δὲ κυκλοτερέσι πύργοις
ὀρθίαν ἔχων ἄνοδον ξεσταῖς βαθμίσιν ἐξῳκοδομημένην εἰς διακοσίας. ἐντὸς δὲ αὐτοῦ
καταγωγαὶ βασίλειοι πολυτελεῖς εἰς ἀσφάλειαν ὁμοῦ καὶ κόσμον πεποιημέναι· περὶ δὲ τὴν 325
βάσιν τοῦ λόφου διατριβαὶ κατασκευῆς ἀξιοθεάτου τά τε ἄλλα καὶ τῆς εἰσαγωγῆς τῶν
ὑδάτων ἐκ μακροῦ καὶ διὰ πλειόνων ἀναλωμάτων πεποιημένης. τὰ δὲ ἐπίπεδα περιῳκο-
δόμηται πόλεως οὐδεμιᾶς ἐλάσσω τὸν λόφον ἀκρόπολις ἔχουσα τῆς ἄλλης οἰκήσεως.
πάντων δὲ αὐτῷ προκεχωρηκότων εἰς δέον τὰς μὲν ἐν αὐτῇ τῇ βασιλείᾳ ταραχὰς οὐδ᾽ 326
ὁπωσοῦν δι᾽ ὑποψίας εἶχεν ἑκατέρωθεν τοὺς ὑπηκόους παραστησάμενος, φόβῳ μὲν ἀπαραί-
τητος εἰς τιμωρίας, τὴν δὲ ἐπιμέλειαν ὢν πολὺς μεγαλόψυχος ἐν ταῖς περιπετείαις εὑρίσκεται.
περιβάλλεται τὴν ἔξωθεν ἀσφάλειαν ὥσπερ ἐπιτείχισμα αὐτοῦ καὶ τοῦτο τοῖς ἀρχομένοις 327
ποιούμενος· πόλεσί τε γὰρ ὡμίλει δεξιῶς καὶ φιλανθρώπως καὶ τοὺς δυνάστας ἐθεράπευεν
εὐκαιρίαις ἀφ᾽ ὧν ἑκάστοις ἐδωρεῖτο μείζονας τὰς χάριτας ἐμποιῶν, ὥστε αὐτῷ πάντα διὰ
πάντων αὔξεσθαι. ὑπὸ δὲ τῆς εἰς τοῦτο φιλοτιμίας καὶ τῆς θεραπείας, ἣν ἐθεράπευε 328
Καίσαρα καὶ Ῥωμαίων τοὺς πλεῖστον δυναμένους, ἐκβαίνειν τῶν ἐθῶν ἠναγκάζετο καὶ
πολλὰ τῶν νομίμων παραχαράττειν, πόλεις τὲ κτίζων ὑπὸ φιλοτιμίας καὶ ναοὺς ἐγείρων,
οὐκ ἐν τῇ τῶν Ἰουδαίων, οὐδὲ γὰρ ἠνέσχοντο τῶν τοιούτων ἀπηγορευμένων ἡμῖν ὡς ἀγάλ- 329
ματα καὶ τύπους μεμορφωμένους τιμῇ πρὸς τὸν Ἑλληνικὸν τρόπον, τὴν δὲ ἔξω χώραν καὶ
τὰ πέριξ οὕτως κατεσκευάζετο, Ἰουδαίοις μὲν ἀπολογούμενος μὴ καθ᾽ αὐτὸν, ἀλλ᾽ ἐξ 330
ἐντολῆς καὶ προσταγμάτων ταῦτα ποιεῖν, Καίσαρι δὲ καὶ Ῥωμαίοις τῷ μηδὲ τῶν οἰκείων
ἐθῶν ὅσον τῆς ἐκείνων ἐστοχάσθαι χαριζόμενος.
Κατιδὼν δὲ καὶ πρὸς τῇ θαλάσσῃ χωρίον ἐπιτηδειότατον δέξασθαι πόλιν, ὃ πάλαι 331
Στράτωνος ἐκαλεῖτο πύργος, τῇ τε διαγραφῇ μεγαλοπρεπῶς ἐπεβάλετο καὶ τοῖς οἰκοδομή-
μασιν ἀνιστὰς πᾶσαν οὐ παρέργως, ἀλλ᾽ ἐκ λευκῆς πέτρας, καὶ διακοσμῶν βασιλείοις
πολυτελεστάτοις καὶ διαίταις πολιτικαῖς, τὸ δὲ μέγιστον καὶ πλείστην ἐργασίαν παρασχόν, 332
ἀκλύστῳ λιμένι, μέγεθος μὲν κατὰ τὸν Πειραιᾶ, καταγωγὰς δὲ ἔνδον ἔχοντι καὶ δευτέρας
ὑφόρμους, τῇ δὲ δομήσει περιβλέπων, ὅτι μηδὲ ἐκ τόπου τὴν ἐπιτηδειότητα τῆς μεγαλουρ-
γίας εἶχεν, ἀλλ᾽ ἐπεισάκτοις καὶ πολλαῖς ἐξετελειώθη ταῖς δαπάναις. κεῖται μὲν γὰρ ἡ 333
πόλις ἐν τῇ Φοινίκῃ κατὰ τὸν εἰς Αἴγυπτον παράπλουν Ἰόπης μεταξὺ καὶ Δώρων, πολι-
σμάτια ταῦτα ἐστὶ καὶ παράλια δύσορμα διὰ τὰς κατὰ λίβα προσβολάς, αἳ ἀεὶ τὰς ἐκ
τοῦ πόντου θῖνας ἐπὶ τὴν ἠϊόνα σύρουσαι καταγωγὴν οὐ μειλίχιον διδόασιν, ἀλλ᾽ ἔστιν
ἀναγκαῖον ἀποσαλεύειν τὰ πολλὰ τοὺς ἐμπόρους ἐπ᾽ ἀγκύραις. τοῦτο τὸ δύσθετον τῆς 334
χώρας διορθούμενος καὶ περιγράψας τὸν κύκλον τοῦ λιμένος ἐφ᾽ ὅσον ἦν αὔταρκες πρὸς
τῇ χέρσῳ μεγάλοις στόλοις ἐνορμεῖσθαι, λίθους ὑπερμεγέθεις καθιεὶς εἰς τὸ βάθος εἰς

2 Φάβητος Zonaras. — 5 Ἀντίγονος Iosephus. — 9 κατασκεβῆς Busb. — 19 ἐθνῶν man. 1 Busb. — 22 τιμᾶν Iosephus. — 26 i. marg. ιγ′ Busb. — 30 δευτέρους Iosephus. — 31 περίβλεπτον Iosephus.

ὀργυιὰς εἴκοσι. πεντήκοντα ποδῶν ἦσαν οἱ πλείους τὸ μῆκος καὶ πλάτος οὐκ ἔλαττον
335 δεκαοκτώ, βάθος ἐννέα, τούτων δὲ οἱ μὲν μείζους οἱ δὲ ἐλάττους. ἡ δὲ ἐνδόμησις ὅσην
ἐβάλλετο κατὰ τῆς θαλάσσης εἰς διακοσίους πόδας. τούτων τὸ μὲν ἥμισυ προβέβλητο
ταῖς κυμαγωγίαις, ὡς ἀπομάχεσθαι περικλώμενον ἐκεῖ τὸν κλύδωνα· προθυμία γὰρ
336 ἐκαλεῖτο· τὸ δὲ λοιπὸν περιεῖχε λίθινον τεῖχος πύργοις διειλημμένον, ὧν ὁ μέγιστος Δροῦσος
ὀνομάζεται, πάνυ καλόν τι χρῆμα, τὴν προσηγορίαν εἰληφὼς ἀπὸ Δρούσου τοῦ Καίσαρος
337 προγόνου τελευτήσαντος νέου. ψαλίδες δὲ ἐμπεποίηνται συνεχεῖς καταγωγαὶ τοῖς ναυτίλοις,
τὸ δὲ πρὸ αὐτῶν ἀπόβασις πλατεῖα κύκλῳ περιεστεφάνωκε τὸν πάντα λιμένα, περίπατος
τοῖς ἐθέλουσιν ἥδιστος. ὁ δὲ εἴσπλους καὶ στόμα πεποίηται πρὸς βορέαν ἀνέμων
338 αἰθριώτατα. βάσις δὲ τοῦ περιβόλου παντὸς ἐν ἀριστερᾷ μὲν εἰσπλεόντων πύργος νεναγ-
μένος ἐπὶ πολὺ στερρῶς ἀντέχειν, κατὰ δεξιὰν δὲ δύο λίθοι μεγάλοι καὶ τοῦ κατὰ θάτερα
339 πύργου μείζους, ὀρθοὶ δὲ καὶ συνεζευγμένοι. περίκεινται δὲ ἐν κύκλῳ τὸν λιμένα λειότητι
λίθου κατασκευῇ συνεχεῖς οἰκήσεις καὶ τῷ μέσῳ κολωνός τις, ἐφ' οὗ νεὼς Καίσαρος
ἄποπτος τοῖς εἰσπλέουσιν ἔχων ἀγάλματα τὸ μὲν Ῥώμης, τὸ δὲ Καίσαρος· ἥ τε πόλις αὐτὴ
341 Καισάρεια καλεῖται καλλίστης καὶ τῆς ὕλης καὶ τῆς κατασκευῆς τετυχηκυῖα. ἡ μὲν δὴ
πόλις οὕτως ἐξετελέσθη δωδεκαετεῖ χρόνῳ.
342 Ἐπὶ τοιούτοις δὲ ὢν ἔγνω τοὺς παῖδας αὐτοῦ πέμπειν εἰς Ῥώμην Ἀλέξανδρον καὶ
343 Ἀριστόβουλον ἐντευξομένους Καίσαρι. τούτοις ἀνελθοῦσι καταγωγὴ μὲν ἦν ὁ Πολίωνος
οἶκος ἀνδρὸς τῶν μάλιστα σπουδασάντων περὶ τὴν Ἡρώδου βασιλείαν, ἐφεῖτο δὲ κἂν τοῖς
Καίσαρος κατάγεσθαι· οὐ γὰρ ἐδέξατο μετὰ πάσης φιλανθρωπίας τοὺς παῖδας· καὶ δίδωσιν
Ἡρώδῃ τὴν βασιλείαν ὅτῳ βούλεται βεβαιοῦν τῶν ἐξ αὐτοῦ γεγονότων, καὶ χώραν ἔτι τόν
344 τε Τράχωνα καὶ Βαταναίαν καὶ Αὐρανῖτιν ἔδωκε διὰ τοιαύτην αἰτίαν· Ζηνόδωρός τις
ἐμισθώσατο τὸν οἶκον τοῦ Λυσανίου. τούτῳ τὰ μὲν κατὰ τὰς προσόδους οὐκ ἤρκει,
λῃστήρια δὲ ἔχων ἐν τῷ Τράχωνι πλείω τὴν πρόσοδον ἔφερεν· οἰκοῦσι γὰρ ἄνδρες ἐξ
345 ἀπονοίας ζῶντες τοὺς τόπους, οἳ τὰ Δαμασκηνῶν ἐλῄζοντο. κακῶς δὲ πάσχοντες οἱ
πλησιόχωροι τοῦ Τράχωνος κατεβόων τοῦ τότε ἡγεμονεύοντος καὶ γράφειν ἠξίουν Καίσαρι
τοῦ Ζηνοδώρου τὴν ἀδικίαν. Καῖσαρ δὴ ἀνενεχθέντων τούτων ἀντέγραφεν ἐξελεῖν τὰ λῃστήρια
τήν τε χώραν Ἡρώδῃ προσένειμεν, ὡς διὰ τῆς ἐπιμελείας τῆς ἐκείνου οὐκέτι ἂν ὀχληρῶν τῶν
346 περὶ τὸν Τράχωνα γενησομένων τοῖς πλησίον· οὐδὲ γὰρ ῥᾴδιον ἦν ἐπισχεῖν αὐτοὺς ἐν ἔθει τὸ
348 λῃστεύειν πεποιημένους. λαβὼν δὲ τὴν χάριν Ἡρώδης παρὰ Καίσαρος καὶ παρελθὼν εἰς τὴν
χώραν ὁδηγῶν ἐμπειρίᾳ τούς τε πονηρευομένους αὐτῶν κατέπαυσε καὶ τοῖς πέριξ ἀδεᾶ τὴν
349 εἰρημένην παρέσχεν. ὁ δὲ Ζηνόδωρος ἀχθόμενος πρῶτον μὲν ἐπὶ τῇ τῆς ἐπαρχίας ἀφαι-
ρέσει, μᾶλλον δὲ καὶ φθονῶν τὴν ἀρχὴν Ἡρώδου μετειληφότος, ἀνῆλθεν εἰς Ῥώμην κατη-
350 γορήσων αὐτοῦ. κἀκεῖνος μὲν ἄπρακτος ὑποστρέφει. πέμπεται δὲ Ἀγρίππας τῶν πέραν
Ἰονίου διάδοχος Καίσαρι· καὶ τούτῳ περὶ Μιτυλήνην χειμάζοντι συντυχὼν Ἡρώδης, ἦν
351 γὰρ εἰς τὰ μάλιστα φίλος καὶ συνήθης, πάλιν εἰς τὴν Ἰδουμαίαν ἀνέστρεφε. Γαδαρέων
δέ τινες ἐπ' Ἀγρίππαν ἦλθον κατηγοροῦντες αὐτοῦ, καὶ τούτους ἐκεῖνος οὐδὲ λόγον αὐτοῖς

3 προθυμία] προκυμία Iosephus. — 12 λειότητι] λειοτάτου Iosephus λειοτάτῃ conicio. — 18 πολλίωνος man. 2 Busb. — 19 οὐ] καὶ Iosephus. — 22 ἀβρανῖτιν Busb. — 33 εἰρημένην] εἰρήνην Iosephus.



δοὺς ἀναπέμπει τῷ βασιλεῖ δεσμίους. οἵ τε Ἄραβες καὶ πάλαι δυσμενῶς ἔχοντες πρὸς
τὴν ἀρχὴν Ἡρώδου διεκεκίνηντο καὶ στασιάζειν ἐπεχείρουν αὐτῷ τὰ πράγματα τότε καὶ
μετὰ αἰτίας εὐλογωτέρας· ὁ γὰρ Ζηνόδωρος ἀπογινώσκων ἤδη τῶν καθ' αὐτὸν ἔφθη τῆς 352
ἐπαρχίας μέρος τί τὴν Αὐρανῖτιν αὐτοῖς ἀποδόσθαι ταλάντων πεντήκοντα. ταύτης ἐμ-
περιεχομένης τῇ δωρεᾷ Καίσαρος ὡς μὴ δικαίως ἀφαιρούμενοι διημφισβήτουν, πολλάκις
μὲν ταῖς καταδρομαῖς καὶ τῷ βιάζεσθαι θέλειν, ἄλλοτε καὶ πρὸς δικαιολογίαν ἰόντες.
ἀνέπειθον δὲ καὶ τοὺς ἀπόρους τῶν στρατιωτῶν, ἦσαν δὲ ἐπελπίζοντες ἀεὶ καὶ πρὸς τὸν 353
νεωτερισμὸν ἐνδιδόντες, ᾧ μάλιστα χαίρουσιν οἱ κακῶς πράττοντες ἐν τῷ βίῳ. ταῦτα δὲ
ἐκ μακροῦ πραττόμενα γινώσκων Ἡρώδης ὅμως οὐκ εἰς τὸ δυσμενές, ἀλλ' ἐξ ἐπιλογισμοῦ
παρηγόρει ταῖς ταραχαῖς οὐκ ἀξιῶν ἀφορμὰς ἐνδιδόναι. ἤδη δὲ αὐτοῦ τῆς βασιλείας 354
ἑπτακαιδεκάτου προελθόντος ἔτους Καῖσαρ εἰς Συρίαν ἀφίκετο. καὶ τότε τῶν Γάδαρα
κατοικούντων οἱ πλεῖστοι κατεβόων Ἡρώδου βαρὺν αὐτὸν ἐν τοῖς ἐπιτάγμασι καὶ τυραννικὸν
εἶναι. ταῦτα δὲ ἀπετόλμων μάλιστα μὲν ἐγκειμένου καὶ διακινοῦντος αὐτοὺς Ζηνοδώρου 355
καὶ παρασχόντος ὅρκον, ὡς οὐκ ἐγκαταλείψει μὴ πάντα τρόπον ἀφελέσθαι μὲν τῆς Ἡρώδου
βασιλείας, προσθήσειν δὲ τῇ διοικήσει τῇ Καίσαρος. τούτοις ἀναπεισθέντες οἱ Γαδαρεῖς 356
οὐ μικρὰν καταβοὴν ἐποιήσαντο. κατηγορούντων οὖν ὕβρεις καὶ ἁρπαγὰς καὶ κατασκαφὰς 357
ἱερῶν ὁ μὲν Ἡρώδης ἀταρακτήσας ἕτοιμος ἦν εἰς τὴν ἀπολογίαν, ἐδεξιοῦτο δὲ Καῖσαρ
αὐτὸν οὐδὲν ὑπὸ τῆς ταραχῆς τοῦ πλήθους μεταβαλὼν τῆς εὐνοίας. καὶ κατὰ μὲν τὴν 358
πρώτην ἡμέραν οἱ περὶ τούτων ἐρρήθησαν λόγοι, ταῖς δὲ ἑξῆς οὐκέτι προῆλθεν ἡ διά-
γνωσις· οἱ γὰρ Γαδαρεῖς ὁρῶντες τὴν ὁρμὴν αὐτοῦ καὶ τὴν τοῦ Καίσαρος καὶ τοῦ συνε-
δρίου καὶ προσδοκήσαντες ὅπερ ἦν εἰκὸς ἐκδοθήσεσθαι τῷ βασιλεῖ, κατὰ φόβον αἰκίας οἱ
μὲν ἀπέσφαττον αὐτοὺς ἐν τῇ νυκτί, τινὲς δὲ καθ' ὕψους ἠφίεσαν, ἄλλοι δὲ εἰς ποταμὸν
ἐμπίπτοντες ἑκοντὶ διεφθείροντο. ταῦτα δὲ ἐδόκει κατάγνωσις εἶναι τῆς προπετείας καὶ 359
ἁμαρτίας, ὅθεν ὁ Καῖσαρ ἀπέλυε τῶν αἰτιῶν Ἡρώδην. ἐπισυμπίπτει δὲ οὐ μέτριον
εὐτύχημα τοῖς ἤδη γεγονόσιν· ὁ γὰρ Ζηνόδωρος ῥαγέντος αὐτῷ τοῦ σπλάγχνου καὶ πολλοῦ
κατὰ τὴν ἀσθένειαν ὑποχωροῦντος αἵματος ἐν Ἀντιοχείᾳ τῆς Συρίας ἐκλείπει τὸν βίον.
Καῖσαρ δὲ καὶ τὴν τούτου μοῖραν οὐκ ὀλίγην οὖσαν Ἡρώδῃ δίδωσιν, ἣ μεταξὺ τοῦ 360
Τράχωνος ἦν καὶ τῆς Γαλιλαίας. ἐγκαταμίγνυσι δὲ αὐτὸν καὶ τοῖς ἐπιτροπεύουσι τῆς
Συρίας ἐντειλάμενος μετὰ τῆς ἐκείνου γνώμης πάντα ποιεῖν. τό τε σύνολον εἰς τοῦτο 361
προῆλθεν εὐτυχίας, ὥστε δύο τούτων τὴν Ῥωμαίων ἀρχὴν διεπόντων τοσήνδε τὸ μέγεθος
οὖσαν, Καίσαρος καὶ μετ' αὐτὸν Ἀγρίππα, κατὰ τὴν πρὸς αὐτὸν εὔνοιαν Καῖσαρ μὲν
οὐδένα μετ' Ἀγρίππαν Ἡρώδου προετίμησεν, Ἀγρίππας δὲ μετὰ Καίσαρα πρῶτον ἀπε-
δίδου φιλίας τόπον Ἡρώδῃ. τοσαύτης δ' ἐχόμενος παρρησίας τῷ μὲν ἀδελφῷ Φερώρᾳ 362
παρὰ Καίσαρος ᾐτήσατο τετραρχίαν αὐτὸς ἀπονείμας πρόσοδον ἐκ τῆς βασιλείας ἑκατὸν
ταλάντων, ὡς εἰ καί τι πάσχοι, τὰ κατ' ἐκεῖνον ἀσφαλῶς ἔχειν καὶ μὴ τοὺς υἱεῖς αὐτοῦ
κρατεῖν. Καίσαρα δὲ ἐπὶ θάλατταν προπέμψας ὡς ἐπανῆγεν, ἐν τῇ Ζηνοδώρου περικα- 363
λέστατον αὐτῷ ναὸν ἐγείρει πέτρας λευκῆς πλησίον τοῦ Πανίου καλουμένου. σπήλαιον ἐν 364
ὄρει περικαλές ἐστιν, ὑπ' αὐτὸ δὲ γῆς ὀλίσθημα καὶ βάθος ἀπερρωγὸς ἄφατον ὕδατι
ἀκινήτῳ πλέον, καθύπερθεν δὲ ὄρος παμμέγεθες, ὑπὸ δὲ τὸ σπήλαιον ἀνατέλλουσι πηγαὶ

34 τετρανχίαν Busb. — 36 περικαλλέστατον Iosephus. — 38 περικαλλές ex corr. Busb.

Zonaras I p. 434 Bonn.

τοῦ Ἰορδάνου ποταμοῦ. τοῦτον ἐπισημότατον ὄντα τὸν τόπον τῷ ναῷ προσεκόσμησεν,
365 ὃν ἀφιέρου Καίσαρι. τότε καὶ τὸ τρίτον μέρος ἀφῆκε τῶν φόρων τοῖς ἐν τῇ βασιλείᾳ,
πρόφασιν μὲν ὡς ἀναλάβοιεν ἐκ τῆς ἀφορίας, τὸ δὲ πλέον ἀνακτώμενος ἔχοντας δυσμενῶς·
κατὰ γὰρ τὴν ἐξεργασίαν τῶν τοιούτων ἐπιτηδευμάτων ὡς ἀναλυομένης αὐτοῖς τῆς εὐσεβείας
366 καὶ μεταπιπτόντων ἐθῶν χαλεπῶς ἔφερον, παροξυνόμενοι ἀεὶ καὶ ταραττόμενοι. ὁ δὲ καὶ
πρὸς τὸ τοιοῦτον πολλὴν ἐπιμέλειαν ἐπῆγεν, ἀφαιρούμενος μὲν τὰς εὐκαιρίας, ἐπιτάττων
δὲ ἀεὶ γίνεσθαι πρὸς τοῖς πόνοις, οὔτε δὲ σύνοδος ἐφεῖτο τοῖς περὶ τὴν πόλιν οὔτε κοινωνία περιπάτου καὶ διαίτης, ἀλλ' ἐτηρεῖτο πάντα. καὶ χαλεπαὶ τῶν φωραθέντων ἦσαν
αἱ κολάσεις, πολλοὶ τὲ καὶ φανερῶς καὶ λεληθότως εἰς τὸ φρούριον ἀγόμενοι τὴν Ὑρκανίαν
ἐκεῖ διεφθείροντο, κἀν τῇ πόλει κἀν ταῖς ὁδοιπορίαις ἦσαν οἱ τοὺς συνιόντας εἰς ταὐτὸν
367 ἐπισκοποῦντες. ἤδη δὲ φασὶν οὐδὲ αὐτὸν ἀμελεῖν τούτου τοῦ μέρους, ἀλλὰ πολλάκις
ἰδιώτου σχῆμα λαμβάνοντα καταμίγνυσθαι νύκτωρ εἰς τοὺς ὄχλους, καὶ πεῖραν αὐτῶν ἣν
368 ἔχουσιν ὑπὲρ τῆς ἀρχῆς λαμβάνειν. τοὺς μὲν οὖν παντάπασιν ἐξαυθαδιζομένους εἰς
τὸ μὴ περιφέρεσθαι τοῖς ἐπιτηδεύμασι πάντας ἐπεξῄει τοὺς τρόπους, τὸ δὲ
ἄλλο πλῆθος ὅρκοις ἠξίου πρὸς τὴν πίστιν ὑπάγεσθαι καὶ συνηνάγκαζεν ἐνώμοτον
369 αὐτῷ τὴν εὔνοιαν ἦ μὴν διαφυλάξειν ἐπὶ τῆς ἀρχῆς ὁμολογεῖν. οἱ μὲν οὖν πολλοὶ
κατὰ θεραπείαν καὶ δέος εἶχον οἷς ἠξίου, τοὺς δὲ φρονήματος μεταποιουμένους καὶ
370 δυσχεραίνοντας ἐπὶ τῷ καταναγκάζεσθαι παντὶ τρόπῳ ἐκποδὼν ἐποιεῖτο. συνέπειθε δὲ
καὶ τοὺς περὶ Πολλίωνα τὸν Φαρισαῖον καὶ Σαμαίαν καὶ τῶν ἐκείνοις συνδιατριβόντων
τοὺς πλείστους ὀμνύειν· οἱ δὲ οὔτε συνεχώρησαν οὔτε ὁμοίως τοῖς ἀρνησαμένοις ἐκολάσθησαν
371 ἐντροπῆς διὰ τὸν Πολλίωνα τυχόντες. ἀφείθησαν δὲ ταύτης τῆς ἀνάγκης καὶ οἱ παρ'
ἡμῖν Ἐσσαῖοι καλούμενοι· γένος τοῦτό ἐστι διαίτῃ χρώμενον τῇ παρ' Ἕλλησιν ὑπὸ Πυθα-
372 γόρου καταδεδειγμένῃ. τοὺς δὲ Ἐσσηνοὺς ἀφ' οἵας αἰτίας ἐτίμα μεῖζόν τι φρονῶν ἐπ'
373 αὐτοῖς ἢ κατὰ τὴν θνητὴν φύσιν, εἰπεῖν ἄξιον· ἦν τίς τῶν Ἐσσηνῶν Μανάϊμος ὄνομα
καὶ τὰ ἄλλα καλοκαγαθίαν μαρτυρούμενος καὶ πρόγνωσιν ἐκ θεοῦ τῶν μελλόντων ἔχων.
οὗτος ἔτι παῖδα τὸν Ἡρώδην εἰς διδασκάλου φοιτῶντα κατιδὼν βασιλέα Ἰουδαίων προση-
374 γόρευσεν. ὁ δὲ ἀγνοεῖν ἢ κατειρωνεύεσθαι νομίζων αὐτὸν ἀνεμίμνησκεν ἰδιώτης ὤν.
Μανάϊμος δὲ μειδιάσας ἠρέμα καὶ τύπτων τῇ χειρὶ κατὰ τῶν γλουτῶν „ἀλλά τοι καὶ
βασιλεύσεις, ἔφη, καὶ τὴν ἀρχὴν εὐδαιμόνως ἀπάξεις· ἠξίωσαι γὰρ ἐκ θεοῦ. καὶ μέμνησο
τῶν Μαναΐμου πληγῶν, ὥστε σοι καὶ τοῦτο σύμβολον εἶναι τῶν κατὰ τὴν τύχην μετα-
375 πτώσεων. ἄριστος γὰρ ὁ τοιοῦτος λογισμός, εἰ δικαιοσύνην ἀγαπήσειας καὶ πρὸς θεὸν
εὐσέβειαν ἐπιείκειαν πρὸς τοὺς πολίτας· ἀλλ' οὐ γὰρ οἶδά σε τοιοῦτον ἔσεσθαι τὸ πᾶν
376 ἐπιστάμενος. εὐτυχίας μὲν γὰρ ὅσον οὐκ ἄλλος διοίσεις καὶ τεύξῃ δόξης αἰωνίου, λήθην
δὲ εὐσεβείας ἕξεις καὶ τοῦ δικαίου. ταῦτα δὲ οὐκ ἂν λάθοι τὸν θεὸν ἐπὶ τῇ καταστροφῇ
377 τοῦ βίου τῆς ἀντ' αὐτῶν ὀργῆς ἀπομνημονευομένης". τούτοις αὐτίκα μὲν ἥκιστα προσέσχε
τὸν νοῦν Ἡρώδης, κατὰ μικρὸν δὲ ἀρθεὶς ἕως τοῦ βασιλεύειν καὶ διευτυχεῖν ἐν τῷ μεγέθει
τῆς ἀρχῆς μεταπέμπεται τὸν Μανάϊμον καὶ περὶ τοῦ χρόνου πόσον ἄρξει διεπυνθάνετο.
378 ὡς δὲ σιωπῶντος αὐτὸς μόνος εἰ δέκα γενήσονται τῆς βασιλείας ἐνιαυτοὶ προσεπυνθάνετο

3 εὐφορίας Busb. — 7 τοῖς] τῆς Busb. — 11 ἐπισκοποῦντες in ras. Busb. — 15 ἐνόμοτον Busb. — 17 inter δέος et εἶχον 5—6 litt. erasae Busb. — 22 ἡμῖν, litt. ῖ in ras. Busb — 32 ἐπιείκειαν δὲ πρὸς Iosephus.



Zonaras I p. 435 Bonn.

καὶ εἴκοσι καὶ τριάκοντα εἰπὼν ὅρον οὐκ ἐπέθηκε τῷ τέλει τῆς προθεσμίας, Ἡρώδης δὲ
καὶ τούτοις ἀρκεσθεὶς τόν τε Μανάϊμον ἀφῆκε δεξιωσάμενος καὶ πάντας ἀπ' ἐκείνου τοὺς
Ἐσσηνοὺς τιμῶν διετέλει.

Τότε γοῦν ὀκτωκαιδεκάτου τῆς Ἡρώδου βασιλείας γεγονότος ἐνιαυτοῦ μετὰ τὰς 380
προειρημένας πράξεις ἔργον οὐ τὸ τυχὸν ἐπεβάλλετο, τὸν νεὼν τοῦ θεοῦ κατασκευάσασθαι
μείζω τὲ τὸν περίβολον καὶ πρὸς ὕψος ἀξιοπρεπέστατον ἐγείρειν, ἡγούμενος ἁπάντων
αὐτῷ τῶν πεπραγμένων περισημότερον, ὥσπερ ἦν, ἐκτελεσθήσεσθαι τοῦτο καὶ πρὸς αἰώνιον
μνήμην ἀρκέσειν. οὐχ ἕτοιμον δὲ τὸ πλῆθος ἐπιστάμενος οὐδὲ ῥᾴδιον ἔσεσθαι πρὸς τὸ 381
μέγεθος τῆς ἐπιχειρήσεως ἠξίου λόγῳ προκαταστησάμενος ἐγχειρῆσαι τῷ παντί, καὶ συγκα-
λέσας ἔλεγε τοιάδε· „τὸν ναὸν τοῦτον, ὦ ἄνδρες, ᾠκοδόμησαν τῷ μεγίστῳ θεῷ πατέρες 385
ἡμέτεροι μετὰ τὴν ἐκ Βαβυλῶνος ἀνάστασιν, ἐνδεῖ δὲ αὐτῷ πρὸς τὸ μέγεθος εἰς ὕψος ἑπτὰ
πήχεις· τοσούτῳ γὰρ ὑπερεῖχεν ὁ πρῶτος, ὃν ἀνῳκοδόμησε Σολομῶν. οὕτω δὲ τοῖς πατράσιν 386
ἡμῶν ᾠκοδόμηται καὶ Κύρου καὶ Δαρείου τοῦ Ὑστάσπου ταῦτα τὰ μέτρα τῆς δομήσεως
δόντων. ἐγὼ δὲ τὸ παρημελημένον ἀνάγκῃ καὶ δουλείᾳ τοῦ πρότερον χρόνου διορθούμενος 387
πειράσομαι τελείαν ἀποδοῦναι τῷ θεῷ τὴν ἀνθ' ὧν ἔτυχον τῆσδε τῆς βασιλείας εὐσέβειαν".
ὁ μὲν Ἡρώδης ταῦτα εἶπεν, ἐξέπληξε δὲ τοὺς πολλοὺς ὁ λόγος παρὰ δόξαν ἐμπεσών. 388
καὶ ἠδημόνουν, μὴ φθάσας καταλῦσαι τὸ πᾶν ἔργον οὐκ ἐξαρκέσει πρὸς τέλος ἀγαγεῖν τὴν
προαίρεσιν. οὕτω δὲ αὐτῶν διακειμένων οὐ πρότερον ἔφη καθαιρήσειν ὁ βασιλεὺς τὸν 389
νεὼν μὴ πάντων αὐτῷ τῶν εἰς τὴν συντέλειαν παρεσκευασμένων. καὶ οὐκ ἐψεύσατο·
χιλίας γὰρ εὐτρεπίσας ἁμάξας, αἳ βαστάσουσι τοὺς λίθους, ἐργάτας δὲ μυρίους τοὺς ἐμ- 390
πειροτάτους ἐπιλεξάμενος καὶ ἱερεῦσι χιλίοις ἱερατικὰς ὠνησάμενος στολάς, καὶ τοὺς μὲν
διδάξας οἰκοδόμους, ἑτέρους δὲ τέκτονας, ἥπτετο τῆς κατασκευῆς ἁπάντων αὐτῷ προητρε-
πισμένων. ἀνελὼν δὲ ἀρχαίους θεμελίους καὶ καταβαλόμενος ἑτέρους ἐπ' αὐτῶν τὸν ναὸν 391
ἤγειρε τῷ χρόνῳ συνιζησάντων τῶν θεμελίων [ὑπέβη]. ᾠκοδομήθη δὲ ὁ ναὸς ἐκ λίθων 392
λευκῶν τὲ καὶ κραταιῶν, τὸ μέγεθος ἑκάστῳ περὶ πέντε καὶ εἴκοσι πήχεις μῆκος, ὀκτὼ δὲ
ὕψος, εὖρος δὲ περὶ δώδεκα. περιελάμβανε δὲ καὶ στοαῖς μεγίσταις τὸν ναὸν ἅπαντα 396
πρὸς τὴν ἀναλογίαν ἐπιτηδεύων. τοῦ δὲ ἱεροῦ παντὸς ἦν ἐν κύκλῳ πεπηγότα σκῦλα βαρ- 402
βαρικά, ἃ πάντα βασιλεὺς Ἡρώδης ἀνέθηκε προσθεὶς ὅσα καὶ τῶν Ἀράβων ἔλαβε. κατὰ 403
δὲ τὴν βόρειον πλευρὰν ἀκρόπολις ἐγγώνιος εὐερκὴς ἐντετείχιστο διαφόρος ὀχυρότητι.
ταύτην οἱ πρὸ Ἡρώδου τοῦ Ἀσαμωναίων γένους βασιλεῖς καὶ ἀρχιερεῖς ᾠκοδόμησαν καὶ
βάριν ἐκάλεσαν, ὡς ἐκεῖ τὴν ἱερατικὴν αὐτοῖς ἀποκεῖσθαι στολήν, ἣν ὅταν δέοι θύειν τότε
μόνον ὁ ἀρχιερεὺς ἀμφιέννυται. ταύτην [τελευτὴν] Ἡρώδης ἐφύλαξεν ἐν τῷ τόπῳ καὶ μετὰ 404
τὴν ἐκείνου τελευτὴν ὑπὸ Ῥωμαίοις ἦν μέχρι τῶν Τιβερίου Καίσαρος χρόνων. ἐπὶ τούτῳ 405
δὲ Οὐϊτέλλης ὁ τῆς Συρίας ἡγεμὼν ἐπιδημήσας τοῖς Ἱεροσολύμοις, δεξαμένου τοῦ πλήθους
αὐτὸν λαμπρότατα πάνυ θέλων αὐτοὺς τῆς εὐποιΐας ἀμείψασθαι, ἐπεὶ παρεκάλεσαν τὴν
ἱερὰν στολὴν ὑπὸ τὴν αὐτῶν ἐξουσίαν ἔχειν, ἔγραψε περὶ τούτων Τιβερίῳ Καίσαρι κἀκεῖ-
νος ἐπέτρεψε, καὶ παρέμεινεν ἡ ἐξουσία τῆς στολῆς τοῖς Ἰουδαίοις μέχρις ἐτελεύτησεν
Ἀγρίππας ὁ βασιλεύς. μετὰ τοῦτον δὲ Κάσσιος Λογγῖνος Συρίαν τότε διοικῶν καὶ 406
Κούσπιος Φάδος ὁ τῆς Ἰουδαίας ἐπίτροπος κελεύουσι τοὺς Ἰουδαίους εἰς τὴν Ἀντωνίαν

4 in marg. ιδ' Busb. — 24 ὑπέβη vix ferendum. — 32 τελευτὴν] ὁ βασιλεὺς Iosephus.

Zonaras I p. 436 Bonn.

καταθέσθαι τὴν στολήν· Ῥωμαίους γὰρ αὐτῆς εἶναι δεῖν κυρίους, καθὼς καὶ πρότερον ἦσαν.
407 πέμπουσιν οὖν Ἰουδαῖοι πρέσβεις πρὸς Κλαύδιον Καίσαρα περὶ τούτων, ὧν ἀναβάντων ὁ
νεώτερος βασιλεὺς Ἀγρίππας ἐπὶ Ῥωμαίους τυγχάνων αἰτησάμενος παρὰ τοῦ αὐτοκράτορος
408 τὴν ἐξουσίαν ἔλαβε. πρότερον δὲ ἦν ὑπὸ σφραγῖδα τοῦ ἀρχιερέως καὶ τῶν γαζοφυλάκων,
καὶ πρὸ μιᾶς ἡμέρας τῆς ἑορτῆς ἐπὶ τὸν Ῥωμαίων φρούραρχον ἀναβάντες οἱ γαζοφύλακες
καὶ καταμανθάνοντες τὴν ἑαυτῶν σφραγῖδα τὴν στολὴν ἐλάμβανον. εἶτ' αὖθις τῆς ἑορτῆς
παρελθούσης εἰς τὸν αὐτὸν κομίσαντες τόπον καὶ τῷ φρουράρχῳ δείξαντες κατετίθεντο
409 τὴν σφραγῖδα. τότε γοῦν Ἡρώδης καὶ ταύτην τὴν βάριν ἐπισκευάσας ἐχυρωτέραν ἐπ'
ἀσφαλείᾳ καὶ φυλακῇ τοῦ ἱεροῦ, εἰς μνήμην Ἀντωνίου τοῦ Ῥωμαίων ἄρχοντος προσηγό-
416 ρευσεν Ἀντωνίαν. καὶ τὰ μὲν τοῦ πρώτου περιβόλου σὺν ἐκπλήξει θεατὰ τοῖς ἐντυγ-
417 χάνουσιν ἦν. ἐν μέσῳ δὲ ἀπέχων οὐ πολὺ δεύτερος, προσβατὸς βαθμίσιν ὀλίγαις, ὃν
περιεῖχεν ἑρκίον λιθίνου δρυφάκτου γραφῇ κωλύων εἰσιέναι τὸν ἀλλοεθνῆ θανατικῆς ἀπει-
418 λουμένης τῆς ζημίας. εἶχε δὲ κατὰ μὲν τὸ νότιον καὶ βόρειον κλίμα τριπτύχους πυλῶνας
ἀλλήλων διεστῶτας, κατὰ δὲ ἡλίου βολὰς ἕνα τὸν μέγαν, δι' οὗ παρείημεν ἁγνοὶ μετὰ
419 γυναικῶν. ἐσωτέρω δὲ κἀκείνου γυναιξὶν ἄβατον ἦν ἱερόν. ἐκείνου δὲ ἐνδοτέρω τρίτον,
ὅπου τοῖς ἱερεῦσιν εἰσελθεῖν ἐξὸν ἦν μόνοις. ὁ ναὸς ἐν τούτῳ καὶ πρὸ αὐτοῦ βωμὸς ἦν,
420 ἐφ' οὗ τὰς θυσίας ὡλοκαυτοῦμεν τῷ θεῷ. τούτων εἰς οὐδένα τῶν τριῶν ὁ βασιλεὺς
Ἡρώδης παρῆλθε· κεκώλυτο γὰρ οὐκ ὢν ἱερεύς. ἀλλ' ἐν τοῖς ἔργοις τὰ περὶ τὰς στοὰς
καὶ τοὺς ἔξω περιβόλους ἐπραγματεύετο καὶ ταῦτα ᾠκοδόμησεν ἐν ἔτεσιν ὀκτώ.
421 Τοῦ δὲ ναοῦ διὰ τῶν ἱερέων οἰκοδομηθέντος ἐνιαυτῷ καὶ μησὶν ἓξ ἅπας ὁ λαὸς
422 ἐπληρώθη χαρᾶς. ὁ δὲ βασιλεὺς τριακοσίους ἔθυσε τῷ θεῷ βοῦς καὶ τῶν ἄλλων οἱ κατὰ
424 δύναμιν, ὧν οὐχ οἷόν τε τὸν ἀριθμὸν εἰπεῖν. κατεσκευάσθη δὲ καὶ κρυπτὴ διώρυξ τῷ
βασιλεῖ, φέρουσα μὲν ἀπὸ τῆς Ἀντωνίας μέχρι τοῦ ἔσωθεν ἱεροῦ πρὸς τὴν ἀνατολικὴν
θύραν, ἐφ' ἧς αὐτῷ καὶ πύργον κατεσκεύασεν, ἵνα ἔχῃ διὰ τῶν ὑπογέων εἰς αὐτὸν ἀνιέναι,
425 τὸν ἐκ τοῦ δήμου νεωτερισμὸν ἐπὶ τοῖς βασιλεῦσι φυλαττόμενος. λέγεται δὲ κατ' ἐκεῖνον
τὸν καιρὸν οἰκοδομουμένου τοῦ ναοῦ τὰς μὲν ἡμέρας οὐχ ὕειν, ταῖς δὲ νυξὶ γίνεσθαι τοὺς
ὄμβρους, ὡς μὴ κωλυσιεργεῖν. καὶ τοῦτον τὸν λόγον οἱ πατέρες ἡμῖν παρέδωκαν, οὐδὲ
ἔστιν ἄπιστον, εἰ καὶ πρὸς ἄλλας ἀπίδοι τίς ἐμφανείας τοῦ θεοῦ.

## Φλαυίου Ἰωσήπου Ἰουδαϊκῆς ἀρχαιολογίας ιϛ'.

περιέχει δὲ ὁ λόγος χρόνον ἐτῶν ιβ'.

Ἐν δὲ τῇ διοικήσει τῶν πραγμάτων ἐσπουδακὼς ὁ βασιλεὺς τὰς ἀδικίας ἀναστεῖλαι
τῶν περὶ τὴν πόλιν καὶ τὴν χώραν ἁμαρτανομένων τίθησι νόμον τοὺς τοιχωρύχους ἀπο-
διδόμενον ἐξαγωγῇ τῆς βασιλείας, ὅπερ ἦν οὐκ εἰς τιμωρίαν μόνον τῶν πασχόντων φορτικόν,
2 ἀλλὰ καὶ κατάλυσιν περιεῖχε τῶν πατρίων ἐθῶν. τὸ γὰρ ἀλλοφύλοις καὶ μὴ τὴν αὐτὴν
δίαιταν ἔχουσι τοῦ ζῆν δουλεύειν καὶ βιάζεσθαι πάντα ὅσα προσέταττον ἐκείνῳ ποιεῖν
ἁμαρτία πρὸς τὴν θρησκείαν ἦν, οὐ κόλασις τῶν ἁλισκομένων, πεφυλαγμένης ἐν τοῖς
3 πρώτοις τῆς τοιαύτης τιμωρίας· ἐκέλευον γὰρ οἱ νόμοι τετραπλᾶ καταβαλεῖν τὸν κλέπτην,

3 ἐπὶ Ῥωμαίους] ἐν Ῥώμῃ Iosephus. — 14 παρῄειμεν Iosephus. — 15 ἐσσωτέρω Busb.



Zonaras I p. 437 Bonn.

οὐκ ἔχοντα δὲ πιπράσκεσθαι μέν, ἀλλ' οὔτι γε τοῖς ἀλλοφύλοις οὐδ' ὥστε διηνεκῆ τὴν
δουλείαν ὑπομένειν· ἔδει γὰρ ἀφίεσθαι μετὰ ἑξαετίαν. ταῦτα μὲν οὖν καθ' ὁμοιότητα 5
τοῦ λοιποῦ τρόπου γινόμενα μέρος ἦν τῶν διαβολῶν καὶ τῆς ἐπ' αὐτῷ δυσνοίας. ἐν δὲ 6
τούτῳ τῷ καιρῷ καὶ τὴν εἰς Ἰταλίαν ὁρμὴν ἐποιήσατο Καίσαρί τε συντυχεῖν καὶ θεάσασθαι
τοὺς παῖδας ἐν τῇ Ῥώμῃ διατρίβοντας. Καίσαρ δὲ τά τε ἄλλα φιλοφρόνως αὐτὸν ἐδέξατο
καὶ τοὺς παῖδας ὡς ἤδη τελειωθέντας ἐν τοῖς μαθήμασιν ἀπέδωκεν ἄγειν εἰς τὴν οἰκείαν.
ὡς δὲ ἧκον, σπουδὴ περὶ τὰ μειράκια τῶν ὄχλων ἦν, καὶ περίοπτοι γεγόνασι τῷ τε μεγέθει 7
τῆς ψυχῆς κοσμούμενοι καὶ βασιλικοῦ κατὰ μορφὰς ἀξιώματος οὐκ ἀποδέοντες. ἐπίφθονοί 8
τε εὐθὺς ἐδόκουν Σαλώμῃ τῇ τοῦ βασιλέως ἀδελφῇ καὶ τοῖς Μαριάμην ταῖς διαβολαῖς
κατηγωνισμένοις· καὶ κατ' ἐκείνων μετέφερον τὴν διαβολὴν λογοποιοῦντες οὐ καθ' ἡδονὰς 9
συνεῖναι τῷ πατρὶ διὰ τὸν τῆς μητρὸς θάνατον. οὐ πρὸς αὐτὸν δὲ τὸν Ἡρώδην ἔλεγον 10
ἄντικρυς, ἀλλ' εἰς τὸ πλῆθος ἐσκόρπιζον τοὺς τοιούτους λόγους· ἐξ οὗ πρὸς τὸν Ἡρώδην
ἀναφερομένων ὑποκατεσκευάζετο μῖσος. ἐν μέντοι τῷ τότε πάσης ὑποψίας καὶ διαβολῆς 11
μείζονι χρώμενος ὁ βασιλεὺς τῇ τοῦ γεγεννηκέναι φιλοστοργίᾳ καὶ τιμῆς ἧς ἔδει μετεδίδου
καὶ γυναῖκας ἐν ἡλικίαις γεγονόσιν ἐζεύγνυεν, Ἀριστοβούλῳ μὲν τὴν Σαλώμης θυγατέρα
Βερνίκην, Ἀλεξάνδρῳ δὲ τὴν Ἀρχελάου τοῦ Καππαδοκῶν βασιλέως Γλαφύραν.
Ταῦτα διοικήσας, ἐπεὶ καὶ Μάρκον Ἀγρίππαν ἐπύθετο καταπεπλευκέναι πάλιν εἰς 12
τὴν Ἀσίαν, ἐπειχθεὶς πρὸς αὐτὸν ἠξίωσεν εἴς τε τὴν βασιλείαν αὐτοῦ παρελθεῖν καὶ
τυχεῖν ὧν ἔδει παρ' ἀνδρὸς ξένου καὶ φίλου. κἀκεῖνος μὲν εἴξας ἧκεν εἰς τὴν Ἰουδαίαν, 13
Ἡρώδης δὲ οὐδὲν ἀρεσκείας ἀπέλιπεν ἔν τε ταῖς ἄλλαις πόλεσι καὶ ἐν τῇ πόλει τῶν Ἱεροσο- 14
λυμιτῶν, ὑπαντῶντος τε τοῦ δήμου παντὸς ἐν ἑορτώδει στολῇ καὶ δεχομένου τὸν ἄνδρα
σὺν εὐφημίαις Ἀγρίππας τῷ θεῷ μὲν ἑκατόμβην κατέθυσεν, ἑστιᾷ δὲ τὸν δῆμον οὐδενὸς
τῶν μεγίστων πλήθους λειπόμενος. αὐτὸς δὲ διὰ τὸν καιρὸν ἠπείγετο· τὸν γὰρ πλοῦν 15
ἐπιβαίνοντα τοῦ χειμῶνος οὐκ ἐνόμιζεν ἀσφαλῆ πρὸς Ἰωνίαν κομιζόμενος. ἐκεῖνος μὲν οὖν 16
ἀπέπλει πολλαῖς αὐτὸν δωρεαῖς τετιμηκότος Ἡρώδου καὶ τῶν σὺν αὐτῷ τοὺς ἐπισημο-
τάτους. ὁ δὲ βασιλεὺς ἔαρος ἠπείγετο συντυχεῖν αὐτῷ. καὶ περὶ Σινώπην τὴν ἐν τῷ 21
Πόντῳ καταλαβὼν ἀπροσδόκητος ὡς ἐφάνη πολλαὶ φιλοφρονήσεις ἦσαν περὶ αὐτόν. ὡς δὲ 23
αὐτοῖς καὶ τὰ περὶ τὸν Πόντον κατείργαστο, ὧν ἕνεκεν Ἀγρίππας ἐστάλη, τὴν ἀνακομιδὴν
οὐκέτι ἐδόκει ποιεῖσθαι πλέουσιν, ἀλλὰ διαμειψάμενοι τήν τε Παφλαγονίαν καὶ Καππα-
δοκίαν κἀκεῖθεν ἐπὶ τῆς μεγάλης Φρυγίας ὁδεύσαντες εἰς Ἔφεσον ἀφίκοντο κἀκεῖθεν
ἐξέπλευσαν εἰς Σάμον.
Τότε δὲ περὶ τὴν Ἰωνίαν αὐτῶν γενομένων πολὺ πλῆθος Ἰουδαίων, ὃ τὰς πόλεις 27
ᾤκει, προσῄει καιροῦ καὶ παρρησίας ἐπειλημμένοι, καὶ τὰς ἐπηρείας ἔλεγον, ἃς ἐπηρεάζοντο
Ῥωμαίων αὐτοὺς ἐπιτρεψάντων κατὰ τοὺς οἰκείους ζῆν νόμους. τοιαῦτα καταβοώντων 28 29
παρῃτήσατο μὲν ὁ βασιλεὺς ἀκοῦσαι τὸν Ἀγρίππαν αὐτὸν δικαιολογουμένων, Νικόλαον δέ
τινα τῶν αὐτοῦ φίλων ἔδωκεν εἰπεῖν ὑπὲρ αὐτῶν τὰ δίκαια. τοῦ δὲ Ἀγρίππα Ῥωμαίων 30
τοὺς ἐν τέλει καὶ βασιλέων καὶ δυναστῶν τοὺς παρόντας συνέδρους ποιησαμένου ὁ Νικόλαος

10 κατ' ἐκεῖνον man. 1 Busb. — 13 i. marg. β' Busb. — 15 ἡλικίᾳ Zonaras cum Iosepho. — 16 ἀλεξάνδρου man. 1 Busb. — 20 post οὐδὲν 2—3 litt. erasae. — 22 εὐφημίας man. 1 Busb. — 26 i. marg. γ' Busb. — 32 i. marg. δ' Busb.

Zonaras I p. 438 Bonn.

27 ὑπὲρ τῶν Ἰουδαίων ἔλεγεν, ὡς οὔτε νόμοις οἰκείοις ἐῶνται χρᾶσθαι δίκας τε ἀναγκάζονται
28 λέγειν ἐν ἱεραῖς ἡμέραις, καὶ τῶν εἰς Ἱεροσόλυμα ἀνατεθειμένων τῷ θεῷ χρημάτων
ἀφαιροῦνται στρατειῶν καὶ λειτουργιῶν ἀναγκαζόμενοι κοινωνεῖν καὶ πρὸς ταῦτα δαπανᾶν
τῶν ἱερῶν χρημάτων, ὧν ἀφείθησαν ἀεὶ Ῥωμαίων αὐτοῖς ἐπιτρεψάντων κατὰ τοὺς οἰκείους
57 ζῆν νόμους. καὶ ταῦτα πάσχοντες Ἰουδαῖοι ἀξιοῦσι περιττὸν οὐδέν, ἃ δὲ αὐτοὶ δεδώκατε
58 ταῦτα ὑπ' ἄλλων μὴ περιϊδεῖν ἀφαιρούμενα". τοιαῦτα τοῦ Νικολάου διεξελθόντος ἐγένετο
μὲν οὐδεμία τῶν Ἑλλήνων ἀντικατάστασις· οὐδὲ γὰρ ὡς ἐν δικαστηρίῳ περὶ τῶν προκειμένων
59 διελάμβανον, ἀλλ' ἦν ἔντευξις ὧν ἐβιάζοντο. κἀκείνων ἀπολογία μὲν οὐδεμία τοῦ μὴ
60 ταῦτα ποιεῖν, πρόφασις δέ, ὡς τὴν χώραν αὐτῶν νεμόμενοι πάντα νῦν ἀδικοῖεν. συνιὼν
δὲ ὁ Ἀγρίππας βιαζόμενος ἀπεκρίνατο ταῦτα· διὰ μὲν τὴν Ἡρώδου πρὸς αὐτὸν εὔνοιαν
καὶ φιλίαν ἕτοιμος εἶναι πᾶν ὁτιοῦν χαρίσασθαι Ἰουδαίοις ἀξιοῦσι καὶ καθ' αὑτὰ δίκαια
δοκεῖν· ὥστε εἰ μὲν ἐδέοντο καὶ πλειόνων, οὐκ ἂν ὀκνῆσαι τά γε μὴ λυποῦντα τὴν
Ῥωμαίων ἀρχὴν παρασχεῖν. ἔδει δὲ ἃ καὶ πρότερον εἰλήφασιν ἄκυρα μὴ γενέσθαι, διὸ
61 βεβαιοῦν αὐτοῖς ἀνεπηρεάστοις ἐν τοῖς οἰκείοις διατελεῖν ἔθεσι. ταῦτα εἰπὼν διέλυσε τὸν
62 σύλλογον. Ἡρώδης δὲ τῆς πρὸς αὐτὸν διαθέσεως ὡμολόγει χάριν. πλεῖν δὲ ὁ βασιλεὺς
ἐπ' οἴκου διεγνωκὼς ἀνήχθη, κατάγεται δὲ εἰς Καισάρειαν οὐ πολλαῖς ὕστερον ἡμέραις
πνευμάτων ἐπιτηδείων τυχών. κἀκεῖθεν ἐλθὼν εἰς Ἱεροσόλυμα συνήγαγεν ἐκκλησίαν· ἦν
63 πολὺς καὶ ἐκ τῆς χώρας ὄχλος. ὁ δὲ παρελθὼν ἀπολογισμόν τε τῆς ὅλης ἀποδημίας
ἐποιήσατο καὶ τὰ περὶ τοὺς Ἰουδαίους, ὅσοι κατὰ τὴν Ἀσίαν ἦσαν, ὡς δι' αὐτὸν ἀνεπη-
64 ρεάστως εἰς τὸ λοιπὸν ἕξουσι διηγήσατο. τό τε σύμπαν ἐπὶ ταῖς εὐτυχίαις καὶ τῇ διοι-
κήσει τῆς ἀρχῆς ὡς οὐδὲν παραλείποι τῶν ἐκείνοις συμφερόντων ἀγαλλόμενος τὸ τέταρτον
65 τῶν φόρων ἀφίησιν αὐτοῖς τοῦ παρεληλυθότος ἔτους. οἱ δὲ καὶ τῷ λόγῳ καὶ τῇ χάριτι
δεδημαγωγημένοι μετὰ πλείστης ἀπῄεσαν χαρᾶς πολλὰ ἐπευχόμενοι τῷ βασιλεῖ.
66 Προὔβαινε δὲ αὐτῷ τὰ κατὰ τὴν στάσιν τῆς οἰκίας καὶ χαλεπωτέραν ἐλάμβανε τὴν
ἐπίδοσιν, τῆς μὲν Σαλώμης μῖσος καὶ κατὰ τῶν νεανίσκων τρεφούσης, προσλαμβανούσης δὲ
67 καὶ πᾶν ὅσον εὐδοκιμήκει κατὰ τῆς μητρὸς αὐτῶν, ἐχόντων δέ τι καὶ τῶν νεανίσκων
θρασὺ καὶ δύσνουν εἰς τὸν γεγεννηκότα μνήμῃ τε τῆς μητρὸς οἷα πάθοι παρὰ τὴν ἀξίαν
68 καὶ τῇ τοῦ κρατεῖν ἐπιθυμίᾳ. πάλιν τε κακὸν ὅμοιον ἐγεγόνει τοῖς πρώτοις, βλασφημίαι
μὲν ἐξ ἐκείνων εἰς τὴν Σαλώμην καὶ τὸν Φερώραν, κακοήθεια δὲ τούτων εἰς τὰ μειράκια·
69 τὸ μὲν γὰρ μῖσος ἴσον ἦν ἐξ ἀλλήλων, ὁ δὲ τρόπος τοῦ μισεῖν οὐχ ὅμοιος· ἀλλ' οἱ μὲν ἐν
τῷ φανερῷ λοιδορηθῆναι καὶ προσονειδίσαι προπετεῖς εὐγενὲς ὑπὸ τῆς ἀπειρίας οἰόμενοι
τὸ τῆς ὀργῆς ἀνυπόστολον, οἱ δὲ πραγματικῶς καὶ κακοήθως ἐχρῶντο ταῖς διαβολαῖς,
προσέλκοντες ἀεὶ τὰ μειράκια καὶ τὸ θρασὺ καταλογιζόμενοι βίαιον ἔσεσθαι πρὸς τὸν
70 γεγεννηκότα. τὸ γὰρ οὐκ αἰδεῖσθαι ταῖς τῆς μητρὸς ἁμαρτίαις οὐδὲ οἴεσθαι δίκαια παθεῖν
ἐκείνην ἄσχετον εἶναι πρὸς τὸ μὴ τὸν αἴτιον δοκοῦντα τιμωρήσασθαι δι' αὐτοχειρίας.
71 τέλος οὖν ἀπεπλήσθη ἡ πόλις τῶν τοιούτων καὶ ἠλεεῖτο μὲν ἡ τῶν μειρακίων ἀπειρία,
κατίσχυε δὲ ἡ τῆς Σαλώμης ἐπιμέλεια καὶ παρ' αὐτῶν ἐκείνων τὰς ἀφορμὰς τοῦ μὴ ψευδῆ

η̃
1 χρασθαι (supra scripsit man. 2) Busb. — 8 ἐβιάζετο man. 1 Busb. — 9 in marg. ε' Busb. — 9 συνιδὼν et 10 βιαζομένους Iosephus. — 20 τῇ ex τὴν corr. man. 2 Busb. — 22 post τῶ una litt. erasa Busb. — 24 in marg. ς' Busb. — 36 ἠλεεῖτο, litt εῖ ex corr. Busb.



Zonaras I p. 438 Bonn.

λέγειν ἐλάμβανεν. οἱ γὰρ οὕτως ἀχθόμενοι τῷ θανάτῳ τῆς μητρός, ἐπειδὴ κἀκείνην καὶ 72
σφᾶς αὐτοὺς κακῶς ἔλεγεν, ἐφιλονείκουν ἐλεεινὴν μέν, ὥσπερ ἦν, ἀποφαίνειν τὴν καταστροφὴν
τῆς μητρός, ἐλεεινοὺς δὲ ἑαυτούς, οἳ τοῖς ἐκείνης φονεῦσιν ἀναγκάζονται συζῆν. ταῦτα 73
προῄει ἐν ἀποδημίᾳ τοῦ βασιλέως. ὡς δὲ ἀπανῆλθεν Ἡρώδης καὶ τῷ πλήθει διελέξατο,
προσέπιπτον εὐθὺς οἱ λόγοι παρά τε τοῦ Φερώρα καὶ τῆς Σαλώμης μέγαν αὐτῶν τὸν κίν-
δυνον εἶναι τὸν περὶ τῶν νεανίσκων ἀναφανδὸν διαπειλουμένων, ὡς οὐκ ἀνέξονται μὴ
τισόμενοι τῆς μητρὸς τὸν φόνον. προσετίθεσαν δὲ καὶ ὡς ταῖς παρ' Ἀρχελάου τοῦ 74
Καππαδόκου ἐλπίσιν ἐπανέχοιεν, ὡς δι' ἐκείνου πρὸς Καίσαρα ἀφιξόμενοι καὶ κατηγορή-
σοντες τοῦ πατρός. Ἡρώδης δὲ εὐθὺς τετάρακτο μὲν ἀκούσας τούτων, ἐξεπέπληκτο δὲ 75
μᾶλλον, ὅτι καὶ τῶν ἄλλων τινὲς ἀπήγγελον. ταρασσόμενος δὲ καὶ διακείμενος οὕτως ἐπὶ 78
καθαιρέσει τῶν μειρακίων ἕτερον αὐτῷ γενόμενον ἰδιωτεύοντι παῖδα προσήγετο καὶ τοῦτο
ἐδόκει τιμῆς, ἐκαλεῖτο δὲ Ἀντίπατρος, οὐχ ὥσπερ ἐν ὑστέρῳ πᾶν εἰς ἐκεῖνον ἀναφέρων,
οἰόμενος παραιρήσεσθαι τοῦ θράσους τοὺς ἐκ Μαριάμης. τὸ γὰρ αὔθαδες οὐκ ἔτι ἂν 79
αὐτοῖς, εἰ τοῦτο πεισθεῖεν, ὅτι μὴ μόνοις μηδὲ ἐξ ἀνάγκης ἡ διαδοχὴ τῆς βασιλείας
ὀφείλεται. διὸ καὶ καθάπερ ἔφεδρόν τινα τὸν Ἀντίπατρον εἰσήγαγε. τὸ δὲ οὐχ ὥσπερ 80 81
ἐνόησεν ἀπέβη· τοῖς τε γὰρ παισὶν οὐ μετρίως ἐδόκεικεχρῆσθαι τῇ πρὸς αὐτοὺς ἐπηρείᾳ,
καὶ δεινὸς ὢν τὸν τρόπον Ἀντίπατρος ἐπειδὴ παρρησίας τινὸς τῆς οὐ πρότερον οὔσης
ἀντεποιήσατο, μίαν ἔσχεν ὑπόθεσιν κακοῦν τοὺς ἀδελφοὺς μὴ παραχωρεῖν τῶν πρωτείων,
ἀλλ' ἔχεσθαι τοῦ πατρὸς ἤδη ἠλλοτριωμένου ταῖς διαβολαῖς. ἦσαν οὖν παρ' αὐτοῦ μόνου 82
οἱ λόγοι φυλαττόμενοι διὰ τοῦ δόξαι τὰ τοιαῦτα καταμηνύειν, ἀλλὰ μᾶλλον ἐχρήσατο
συνεργοῖς τοῖς ἀνυπόπτοις. καὶ τούτων πολυπροσώποις καὶ πιστοῖς ἀλλήλων συναγωνιζο- 83
μένων ἔτι μᾶλλον αἱ παρὰ τῶν μειρακίων ἀφορμαὶ προσεγένοντο· καὶ γὰρ πολλάκις καὶ 84
δάκρυα κατ' ἐπήρειαν ἦν ὧν ἠτιμάζοντο καὶ τῆς μητρὸς ἀνακλήσεις, καὶ τὸν πατέρα
φανερῶς ἤδη πρὸς τοὺς φίλους οὐ δίκαιον ἐλέγχειν ἐπετήδευον, ἅπερ ἅπαντα κακοήθως
ὑπὸ τῶν περὶ τὸν Ἀντίπατρον καιροφυλακούμενα καὶ μειζόνως πρὸς τὸν Ἡρώδην ἐξαγγελό-
μενα προὔβαινεν οὐ μικρὰν ἀπεργαζόμενα τὴν τῆς οἰκίας στάσιν. ἀχθόμενος γὰρ ὁ 85
βασιλεὺς ταῖς διαβολαῖς καὶ ταπεινῶσαι βουλόμενος τοὺς ἐκ Μαριάμης μείζονα Ἀντιπάτρῳ
τιμὴν παρεῖχε καὶ τέλος ἐπεισήγαγε τὴν ἐκείνου μητέρα, Καίσαρι δὲ πολλάκις γράφων
ὑπὲρ αὐτοῦ συνίστη σπουδαιότερον. Ἀγρίππα γε μὴν ἀνιόντος εἰς τὴν Ῥώμην μετὰ τὴν 86
διοίκησιν τῶν ἐπὶ τῆς Ἀσίας δεκαετῆ γενομένην, πλεύσας ἀπὸ τῆς Ἰουδαίας καὶ συντυγ-
χάνων μόνον τε τὸν Ἀντίπατρον ἐπήγετο καὶ παρέδωκεν εἰς Ῥώμην ἀνάγειν μετὰ πολλῶν
δώρων Καίσαρι φίλον ἐσόμενον, ὥστε ἤδη πάντα δοκεῖν ἐπ' ἐκείνῳ καὶ παρεῶσθαι παν-
τάπασιν ἐκ τῆς ἀρχῆς τὰ μειράκια.
Ἀντίπατρος δὲ τιμώμενος μὲν κατὰ τὴν ἀποδημίαν ἥδετο, ἤχθετο δὲ τῷ μὴ παρεῖναι 87 88
μηδ' ἔχειν ἐξ εὐκαίρου διαβάλλειν τοὺς ἀδελφούς, καὶ μᾶλλον ἐδεδοίκει μεταβολὴν τοῦ
πατρός, μὴ καὶ καθ' αὑτὸν ἀξιώσειεν ἐπιεικέστερον εἰς τοὺς ἐκ τῆς Μαριάμης φρονεῖν.
ταῦτα δι' ἐννοίας ἔχων κἀκεῖθεν, ὅτι ἀνιάσειν ἤλπιζε τὸν πατέρα κατὰ τῶν ἀδελφῶν, 89

2 ἔλεγον Iosephus. — 3 συζῆν, litt. ῆ in ras. 2—3 litt. man. 2 Busb. — 6 περὶ] παρὰ Iosephus. — 11. 12 καὶ τοῦτον ἐδόκει τιμᾶν Iosephus. — 12 ἐκαλεῖτο] ἐκαλεῖ|ο, litt. ο in ras. 2 litt., τ ab rubricatore omissum videtur Busb. — 14 post εἰ ras. 1 litt. Busb. — 21 πολυπροσώπως καὶ πιστῶς ἀλλήλοις Iosephus. — 25 ἐξαγγελλόμενα man. 2 Busb. — 34 ἥδετο] ἤδετο Busb.

Zonaras I p. 439 Bonn.

90 συνεχῶς ἐπέστελλεν, ἕως εἰς τοῦτο προήγαγε τὸν Ἡρώδην, ὡς ἤδη δυσμενῶς ἔχειν
τοῖς μειρακίοις, κρεῖττον δ' ἡγήσατο πλεύσας εἰς Ῥώμην ἐκεῖ τῶν παίδων κατηγορεῖν παρὰ
91 Καίσαρι. ὡς δὲ ἀνῆλθεν εἰς τὴν Ῥώμην, ἐλθὼν εἰς λόγους Καίσαρι καὶ καιρὸν αἰτησά-
μενος ἐπὶ μεγάλοις οἷς ἐδόκει συντυχεῖν παρεστήσατο μὲν τοὺς παῖδας, ᾐτιάσατο δὲ τῆς
92 ἀπονοίας καὶ τῆς ἐπιχειρήσεως, ὡς ἔχουσιν ἅπαντα τρόπον ἐσπουδακότες μισεῖν τὸν
ἑαυτῶν πατέρα, ὥστε διαχειρίσασθαι αὐτὸν καὶ τὴν βασιλείαν ὠμοτάτῳ τρόπῳ παραλαβεῖν.
100 ταῦτα μὲν Ἡρώδης ἐμφανῶς ᾐτιάσατο παρὰ Καίσαρι τοὺς ἑαυτοῦ παῖδας. τῶν δὲ
102 νεανίσκων ἤδη μὲν καὶ λέγοντος δάκρυα καὶ σύγχυσις ἦν καὶ ἀπορία τοῦ δύνασθαι λέγειν
καὶ τέλος οἰμωγὴ συμπαθεστέρα, δεδοικότων εἰ δόξουσιν ἐκ τοῦ συνειδότος ἠπορῆσθαι,
ἀπολογίαν.

104 Ἐπεὶ δὲ συνεῖδον εὐμένειαν τινὰ παρὰ Καίσαρος, καὶ τῶν ἄλλων ἕκαστον τοὺς μὲν
105 συνδακρύοντας, ἅπαντας δὲ συναλγοῦντας, θάτερος αὐτῶν Ἀλέξανδρος ἐπεχείρει διαλύειν
τὰς αἰτίας πρὸς τὸν πατέρα τοὺς λόγους ποιούμενος καὶ πολλὰ εἰπόντος καὶ διαλεχθέντος
121 πρὸς τὸ ἐπαγωγότερον, ὁ Καῖσαρ οὐδὲ πρότερον πιστεύων τῷ μεγέθει τῆς διαβολῆς ἔτι
μᾶλλον ἐξηλλάττετο καὶ συνεχῶς εἰς τὸν Ἡρώδην ἀπέβλεπεν ὁρῶν κἀκεῖνον ὑποσυγκε-
χυμένον, ἀγωνία τὲ τοῖς παροῦσιν ἐνεπεπτώκει καὶ περὶ τὴν αὐλὴν ὁ λόγος διαδοθεὶς
122 ἐπίφθονον ἐποίει τὸν βασιλέα. τὸ γὰρ ἄπιστον τῆς διαβολῆς καὶ τὸ περὶ τοὺς νεανίσκους
ἐν ἀκμῇ καὶ κάλλει σωμάτων ἐλεεινὸν ἐπεσπάσατο βοήθειαν, ἔτι δὴ μᾶλλον ἐπειδὴ καὶ
τῷ λόγῳ δεξιῶς καὶ μετὰ φρονήσεως ἀπήντησεν Ἀλέξανδρος, ἦν δ' ἐκείνοις ἔτι ταὐτὸν τὸ
σχῆμα, κλαίουσι καὶ σὺν κατηφείᾳ πρὸς τὴν γῆν νενευκόσιν, ἡ δὲ ἐλπὶς ἀμείνων ὑπε-
123 φαίνετο, καὶ δόξας ὁ βασιλεὺς ἐξ ὧν αὐτὸν ἔπειθεν οὐκ εὔλογα κατηγορηκέναι διὰ τὸ
124 μηδὲν αὐτὸν ἐλέγχειν ἀπολογίας τινὸς ἐδεῖτο. Καῖσαρ δὲ μικρὸν ἐπισχὼν τοὺς μὲν νεα-
νίσκους, εἰ καὶ πόρρω τῆς ἐπ' αὐτοῖς διαβολῆς δοκοῦσιν, αὐτὸ τὲ τοῦτο ἁμαρτεῖν ἔφη τὸ
125 μὴ τοιούτους ἑαυτοὺς τῷ πατρὶ παρασχεῖν, ὡς μηδὲ γενέσθαι τὸν ἐπ' αὐτοῖς λόγον. Ἡρώδην
δὲ παρεκάλει πᾶσαν ὑπόνοιαν ἀφελόντα διαλλάττεσθαι τοῖς παισίν· οὐ γὰρ εἶναι δίκαιον
126 οὐδὲ πιστεύειν τὰ τοιαῦτα κατὰ τῶν ἐξ αὐτοῦ. τοιαῦτα νουθετῶν ἔνευσε τοῖς νεανίσκοις.
ἐκείνων δὲ βουλευομένων ἐπιπεσεῖν ἐπὶ δεήσει προαναλαβὼν αὐτοὺς ὁ πατὴρ δακρύοντας
ἠσπάζετο παρ' ἕκαστον ἐν μέρει περιπτύσσων, ὡς μηδοντιναοῦν τῶν παρατυγχανόντων
127 ἀπαθῆ γενέσθαι. τότε μὲν οὖν εὐχαριστήσαντες Καίσαρι μετ' ἀλλήλων ἀπῄεσαν καὶ μετ'
128 αὐτῶν Ἀντίπατρος ὑποκρινόμενος ἐφήδεσθαι ταῖς διαλλαγαῖς. ἐν δὲ ταῖς ὑστεραίαις
Ἡρώδης μὲν ἐδωρεῖτο Καίσαρα τριακοσίοις ταλάντοις θέας τε καὶ διανομὰς ποιούμενος τῷ
Ῥωμαίων δήμῳ, Καῖσαρ δὲ αὐτῷ τοῦ μετάλλου τοῦ Κυπρίου χαλκοῦ τὴν ἡμίσειαν πρόσοδον
129 καὶ τῆς ἡμισείας τὴν ἐπιμέλειαν δέδωκε ξενίαις τε καὶ καταγωγαῖς ἐτίμησε, καὶ περὶ τῆς
βασιλείας αὐτῷ τὴν ἐξουσίαν ἀφῆκεν ὃν ἂν αἱρῆται τῶν παίδων διάδοχον καθιστάνειν ἢ
καὶ διανέμειν ἑκάστῳ μέρος τῆς τιμῆς εἰς πάντας διελευσομένης. ἐκείνου δὲ ἤδη θέλοντος
130 αὐτὸ ποιεῖν οὐκ ἐπιτρέψειν ἔφη ζῶντι δὲ τῆς βασιλείας καὶ τῶν παίδων κρατεῖν. ἐπὶ
τούτοις ἐπανῄει πάλιν εἰς τὴν Ἰουδαίαν. ἀποδημοῦντος δὲ οὐ μικρὸν μέρος ἀπέστη τῆς
ἀρχῆς περὶ τὸν Τράχωνα, καὶ τούτους οἱ καταλειφθέντες στρατηγοὶ χειρωσάμενοι πάλιν

---

οισ
2 τοῖς μειρακί·οις Busb. — 11 i. marg. ή Busb. — 14 πιστεύον Busb. — 25 διαλλάττεσθαι, alterum τ supra versum, ε in ras. Busb. — 29 μετ' αὐτῶν] σὺν αὐτοῖς Iosephus. — 36 αὐτὸ] αὐτῷ Busb.



Zonaras I p. 441 Bonn.

ὑπακούειν ἠνάγκασαν. Ἡρώδης δὲ πλέων σὺν τοῖς παισὶν ὡς ἐγένετο κατὰ Κιλικίαν ἐν 131
Ἐλεούσῃ τῇ μετωνομασμένῃ νῦν Σεβαστῇ καταλαμβάνει τὸν βασιλέα τῆς Καππαδοκίας
Ἀρχέλαον, ὃς αὐτὸν ἐκδέχεται φιλοφρόνως ἡδόμενος ἐπὶ ταῖς τῶν παίδων διαλλαγαῖς καὶ
τῷ τὸν Ἀλέξανδρον, ὃς εἶχεν αὐτοῦ τὴν θυγατέρα, τῆς αἰτίας ἀπολελύσθαι· δωρεὰς τὲ
ἀντέδοσαν ἀλλήλοις ἃς εἰκὸς βασιλεῖς. ἐντεῦθεν Ἡρώδης ἐπὶ Ἰουδαίαν ἐλθὼν καὶ γενό- 132
μενος ἐν τῷ ἱερῷ περὶ τῶν πεπραγμένων κατὰ τὴν ἀποδημίαν διελέγετο. τέλος ἐπὶ νου- 133
θεσίᾳ τῶν παίδων τὸν λόγον κατέστρεψε, τοὺς περὶ τὴν αὐλὴν καὶ τὸ λοιπὸν ἅπαν εἰς
ὁμόνοιαν καλῶν καὶ τοὺς υἱοὺς μετ' αὐτὸν ἀποδεικνὺς βασιλέας γενέσθαι, πρῶτον μὲν τὸν
Ἀντίπατρον, εἶτα καὶ τοὺς Μαριάμης Ἀλέξανδρον καὶ Ἀριστόβουλον. ἐν δὲ τῷ τότε πάντας 134
ἀποβλέπειν εἰς αὐτὸν ἀξιῶν καὶ βασιλέα καὶ δεσπότην ἁπάντων δοκεῖν τούς τε ἡγεμόνας
καὶ τὸ στρατιωτικὸν εἰ πρὸς ἕνα βλέποιεν αὐτὸν ἀτάραχον ἔφη τὸν βίον ἕξειν. ταῦτα 135
εἰπὼν ἀφίησι τὴν ἐκκλησίαν, τοῖς πλείστοις μὲν ἄριστα διειλεγμένος, ἐνίοις δὲ οὐχ ὁμοίως·
ἤδη γὰρ ὑπὸ τῆς ἁμίλλης καὶ τῶν ἐλπίδων ἃς ἐδεδώκει τοῖς παισὶ νενεωτέριστο πολλὰ
καινοτέρων ἐφιέμενα.

Περὶ δὲ τὸν χρόνον τοῦτον συντέλειαν ἔλαβεν ἡ Καισάρεια Σεβαστὴ ἣν ᾠκοδόμει 136
δεκάτῳ ἔτει πρὸς τέλος ἐλθούσης τῆς ὅλης κατασκευῆς. ἦν οὖν εὐθὺς ἐν καθιερώσει 137
μείζων ἑορτή, κατηγγέλκει δὲ καὶ ἀγῶνα μουσικῆς καὶ γυμνικῶν ἀθλημάτων. καὶ τοῦτον 138
τὸν ἀγῶνα Καίσαρι ἀνετίθει· ὁ δὲ αὐτῷ πᾶσαν τὴν εἰς τὰ τοιαῦτα παρασκευὴν ἀπὸ τῶν
οἰκείων διεπέμπετο. ἰδίᾳ δὲ καὶ ἡ γυνὴ Καίσαρος Ἰουλία πολλὰ τῶν ἐκεῖ πολυτελεστάτων 139
ἀπέστειλε. συνελθόντος δὲ εἰς τὴν πόλιν ὄχλου πλείονος κατὰ θεωρίαν καὶ πρέσβεων, οὓς 140
ἔπεμπον οἱ δῆμοι δι' ἃς ἐπεπόνθεισαν εὐεργεσίας, ἅπαντας ἐξεδέξατο καταγωγαῖς καὶ
τραπέζαις καὶ διηνεκέσιν ἑορταῖς, ὡς ἐπίσημον γενέσθαι τὴν μεγαλοψυχίαν αὐτοῦ· εἰς 141
πάντα γὰρ ἅπερ ἂν ἐπετήδευεν ἐφιλονείκει τὴν τῶν ἤδη γεγενημένων ἐπίδειξιν ὑπερ-
βαλέσθαι, καὶ φασὶν αὐτόν τὲ Καίσαρα καὶ Ἀγρίππαν καὶ πολλάκις εἰπεῖν, ὡς ἀποδέοι
τὰ τῆς ἀρχῆς Ἡρώδῃ τῆς οὔσης ἐν αὐτῷ μεγαλοψυχίας· ἄξιον γὰρ εἶναι καὶ Συρίας ἁπάσης
καὶ Αἰγύπτου τὴν βασιλείαν ἔχειν. ἀνήγειρε δὲ καὶ πόλιν ἄλλην ἐν τῷ πεδίῳ τῷ λεγομένῳ 142
Καφαρσαβᾶ, τόπον ἔνυδρον καὶ χώραν ἀρίστην φυτοῖς ἐκλέξας. ταύτην ἀπὸ Ἀντιπάτρου τοῦ 143
πατρὸς Ἀντιπατρίδα προσηγόρευσεν. ἐπώνυμον δὲ χωρίον καὶ τῇ μητρὶ ὑπὲρ Ἱεριχοῦντα
οἰκοδομήσας ἐκάλεσε Κύπρον. Φασαήλῳ τὲ τῷ ἀδελφῷ μνημεῖα ἐτίθει τὰ κάλλιστα, πύργον 144
ἐπ' αὐτῆς τῆς πόλεως ἀναστήσας οὐδὲν ἐλάττω τοῦ κατὰ τὴν Φάρον, ὃν προσηγόρευσε Φασάη-
λον, ὁμώνυμον δὲ αὐτῷ καὶ πόλιν περὶ τὸν αὐλῶνα τῆς Ἱεριχοῦντος ἔκτισε Φασαηλίδα καλέσας 145
καὶ ταύτην. τὰς δὲ ἄλλας εὐεργεσίας ἄπορον εἰπεῖν τὰς κατὰ τὴν Συρίαν καὶ τὴν Ἑλλάδα, 146
τὰ δὲ μέγιστα καὶ διασημότατα τῶν πεπραγμένων αὐτῷ Ῥοδίοις μὲν τό τε Πυθεῖον 147
ἀνέστησεν οἰκείοις ἀναλώμασι καὶ παρέσχεν ἀργυρίου πολλὰ τάλαντα πρὸς ναυπηγίαν.
Νικοπολίταις τὲ τοῖς ἐπ' Ἀκτίῳ κτισθεῖσι παρὰ Καίσαρος τὰ πλεῖστα τῶν δημοσίων συγ-
κατεσκεύασεν. Ἀντιοχεῦσι τὲ τοῖς ἐν Συρίᾳ μεγίστην πόλιν οἰκοῦσιν, ἣν κατὰ μῆκος 148
τέμνει πλατεῖα, ταύτην στοαῖς παρ' ἑκάτερα καὶ λίθῳ τὴν ὕπαιθρον ὁδὸν καταστορέσας
πλεῖον εἰς κόσμον καὶ τὴν τῶν οἰκούντων εὐχρηστίαν ὠφέλησε. τόν γε μὴν Ὀλυμπιάσιν 149
ἀγῶνα πολὺ τῆς προσηγορίας ἀδοξότερον ὑπ' ἀχρηματίας διατιθέμενον τιμιώτερον ἐποίει

---

7 τὴν αὐλὴν .... ὁμόνοιαν in ras. Busb. — 15 i. marg. θ' Busb. — 37 παρ' ἑκατέρα Busb.

Zonaras I p. 441 Bonn.

χρημάτων προσόδους καταστήσας καὶ πρὸς θυσίας καὶ τὸν ἄλλον κόσμον ἐσεμνοποίησε
τὴν πανήγυριν. διὰ δὴ ταύτην τὴν φιλοτιμίαν διηνεκὴς ἀγωνοθέτης παρὰ τοῖς πλείστοις
150 ἀνεγράφη. τοῖς μὲν οὖν ἄλλοις ἐπέρχεται θαυμάζειν τὸ διεστὼς τῆς ἐν φύσει προαιρέσεως·
ὅταν μὲν γὰρ εἰς τὰς φιλοτιμίας καὶ τὰς εὐεργεσίας ἀποδίδωσιν, αἷς ἐκέχρητο πρὸς
ἅπαντας ἀνθρώπους, οὐκ ἔστι μὴ συνομολογεῖν εὐεργετικωτάτῃ κεχρῆσθαι τῇ φύσει.
151 ὅταν δὲ εἰς τὰς τιμωρίας καὶ ἀδικίας, ἃς εἰς τοὺς ἀρχομένους καὶ τοὺς οἰκειοτάτους ἐπε-
δείξατο, βλέψῃ τίς καὶ καταμάθῃ τὸ σκληρὸν καὶ δυσπαραίτητον τοῦ τρόπου, θηριώδη
152 δόξει καὶ πάσης μετριότητος ἀλλότριον. ἔνθεν καὶ διάφορόν τινα καὶ μαχομένην ἐπ'
αὐτῷ νομίζουσι γεγενῆσθαι τὴν προαίρεσιν. ἐγὼ δὲ μίαν αἰτίαν ἀμφοτέρων τούτων ὑπολαμ-
153 βάνω· φιλότιμος γὰρ ὢν καὶ τοῦ πάθους ἡττώμενος ἰσχυρῶς, προήγετο μὲν εἰς μεγαλοψυ-
154 χίαν, εἴ που μνήμης εἰσαῦθις ἢ κατατοπαρὸν εὐφημίας ἐλπὶς ἐμπέσοι. ταῖς δὲ δαπάναις
156 ὑπὲρ δύναμιν χρώμενος ἠναγκάζετο χαλεπὸς εἶναι τοῖς ὑποτεταγμένοις· περί γε μὴν τοὺς
οἰκείους, εἰ δόξειέ τις εἰς τὴν ἀρχήν τι παρακινεῖν, οὐχ ἱκανὸς αὐτοῦ κρατεῖν ἐγένετο καὶ
διὰ τοῦτο διεξῆλθεν ὁμοῦ συγγενεῖς καὶ φίλους ἴσα πολεμίοις τιμωρούμενος ἐκ τοῦ μόνος
θέλειν τετιμῆσθαι τὰς τοιαύτας ἁμαρτίας ἀναλαμβάνων.

160 Τοὺς δὲ κατὰ τὴν Ἀσίαν Ἰουδαίους ὅσους πρὸς Κυρήνην ἢ Λιβύην κατέσχον ἐκάκουν
αἱ πόλεις, τῶν μὲν προτέρων βασιλέων ἰσονομίαν αὐτοῖς παρεσχημένων, ἐν δὲ τῷ τότε
δι' ἐπηρείας ἐχόντων τῶν Ἑλλήνων αὐτούς, ὡς καὶ χρημάτων ἱερῶν ἀφαίρεσιν ποιεῖσθαι
161 καὶ καταβλάπτειν αὐτοὺς ἐπὶ μέρος. πάσχοντες δὲ κακῶς ἐπρεσβεύσαντο πρὸς τὸν
Καίσαρα περὶ τούτων. ὁ δὲ αὐτοῖς τὴν αὐτὴν ἰσοτέλειαν ἔδωκε γράψας τοῖς κατὰ τὰς
ἐπαρχίας.

179 Ἡρώδης δὲ πολλοῖς τοῖς ἀναλώμασι χρώμενος, ἀκηκοὼς ὡς Ὑρκανὸς ὁ πρὸ αὐτοῦ
βασιλεύσας ἀνοίξας τὸν Δαυίδου τάφον ἀργυρίου λάβοι τρισχίλια τάλαντα κειμένων πολὺ
πλειόνων ἔτι καὶ δυναμένων εἰς ἅπαν ἐπαρκέσαι ταῖς χορηγίαις, ἐκ πλείονος μὲν δι' ἐννοίας
180 εἶχε τὴν ἐπιχείρησιν, ἐν δὲ τῷ τότε νυκτὸς ἀνοίξας τὸν τάφον εἰσέρχεται πραγματευόμενος
181 μὲν ἥκιστα φανερὸς εἶναι, παρειληφὼς δὲ τοὺς πιστοτάτους τῶν φίλων. ἀποθέσιμα μὲν
οὖν χρήματα καθάπερ Ὑρκανὸς οὐχ εὗρε, κόσμον δὲ πολὺν κειμηλίων χρυσῶν, ὧν ἀνείλετο
πάντα. ἐπιμελεστέραν δὲ τὴν ἔρευναν ποιούμενος ἐνδοτέρω χωρεῖν ἔσπευδε κατὰ τὰς
182 θήκας, ἐν αἷς ἦν τοῦ Δαυΐδου καὶ τοῦ Σολομῶντος τὰ σώματα. καὶ δύο μὲν αὐτῷ τῶν
δορυφόρων διεφθάρησαν φλογὸς ἔνδοθεν εἰσιοῦσιν ἀπαντώσης, ὡς ἐλέγετο, περίφοβος δὲ
αὐτὸς ἐξῄει, καὶ τοῦ δέους ἱλαστήριον μνῆμα λευκῆς πέτρας ἐπὶ τῶν στομίων κατεσκεύασε
183 πολυτελεστάτῃ δαπάνῃ. τούτου καὶ Νικόλαος ὁ κατ' αὐτὸν ἱστοριογράφος μέμνηται τοῦ
κατασκευάσματος, οὐ μὴν ὅτι καὶ κατῆλθεν, οὐκ εὐπρεπῆ τὴν πρᾶξιν ἐπιστάμενος.
188 Ἡρώδης δὲ διὰ τὴν ἐπιχείρησιν, ἣν ἐποιήσατο τῷ τάφῳ, χεῖρον ἐδόκει πράττειν ἐν τοῖς
189 κατὰ τὴν οἰκίαν· στάσις γὰρ ἦν ὥσπερ ἐμφυλίου πολέμου κατὰ τὴν αὐλὴν καὶ μίσους
190 πρὸς ἀλλήλους ἀνθυπερβαλλομένων ταῖς διαβολαῖς. ἐστρατήγει δὲ ἀεὶ κατὰ τῶν ἀδελφῶν
Ἀντίπατρος δεινὸς ὢν ἔξωθεν μὲν περιβάλλων αὐτοὺς ταῖς αἰτίαις, αὐτὸς δὲ πολλάκις
ἀπολογουμένου τόπον λαμβάνων, ἵνα ᾖ τὸ δοκοῦν εὔνουν πιστὸν αὐτῷ πρὸς τὰς ἐγχειρήσεις

4 ἀποδίδωσεν] ἀπίδωμεν Iosephus. — 6 οἰκειοτάτους, litt. οἰ in ras. (fuit ε.) Busb. — 16 i. marg. ι' Busb. — 22 i. marg. ια' Busb.



Zonaras I p. 442 Bonn.

ὧν ἐδόκει. καὶ τούτῳ τῷ τρόπῳ ποικίλως ἐκπεριεληλύθει τὸν πατέρα μόνος ὑπὲρ τῆς
ἐκείνου σωτηρίας ἅπαντα πράττειν δοκῶν. ὁ δὲ καὶ Πτολεμαῖον, ὃς ἦν αὐτῷ ἐπὶ τῶν 191
τῆς βασιλείας πραγμάτων, Ἀντιπάτρῳ συνίστη καὶ μετὰ τῆς ἐκείνου μητρὸς ὑπὲρ τῶν
ἐπειγόντων ἐβουλεύετο. καὶ καθόλου τὰ πάντα ἦσαν οὗτοι. οἱ δὲ ἐκ τῆς Μαριάμης χαλε- 192
πώτερον ἀεὶ διετίθεντο, καὶ τὴν ἀτιμίαν ὑπ' εὐγενείας οὐκ ἔφερον παρεωσμένοι καὶ τάξιν
ἀτιμοτέραν ἔχοντες. αἵ τε μὴν γυναῖκες, ἡ μὲν Ἀλεξάνδρῳ συνοικοῦσα Γλαφύρα ἡ 193
Ἀρχελάου μῖσος εἶχεν εἰς τὴν Σαλώμην κατά τε τὴν πρὸς τὸν ἄνδρα διάθεσιν κἀκ τοῦ
πρὸς τὴν ἐκείνης θυγατέρα δοκεῖν ὑπερηφανώτερον διακεῖσθαι· συνῴκει μὲν γὰρ Ἀριστο-
βούλῳ, τὴν δὲ ἰσοτιμίαν αὐτῆς ἀνηξιοπάθει Γλαφύρα. δευτέρας οὖν ταύτης ἔριδος ἐμ- 194
πεπτωκυίας οὐδὲ τοῦ βασιλέως ἀδελφὸς Φερώρας ἔξω ταραχῆς ἦν, ἰδίαν δὲ ὑπόθεσιν
ὑποψίας καὶ μίσους εἶχεν· ἐμπεπτώκει μὲν γὰρ εἰς ἔρωτα δουλευούσης αὐτῷ γυναικός,
ἥττητο δὲ τῆς ἀνθρώπου μεμηνότως, ὥστε αὐτῷ καὶ τῆς τοῦ βασιλέως ἐγγυηθείσης θυγατρὸς
τὴν μὲν ὑπερηφανῆσαι, πρὸς δὲ τὴν δούλην τὸν νοῦν ἔχειν. ἤχθετο δὲ ἀτιμασθεὶς Ἡρώδης 195
τῷ πολλὰ μὲν εὐεργετεῖν τὸν ἀδελφόν, δυνάμει δὲ καὶ κοινωνὸν ἔχειν τῆς βασιλείας, οὐχ
ὅμοιον εἰς τὰς ἀμοιβὰς ὁρῶν. καὶ τὴν μὲν κόρην μὴ τυχὼν Φερώρα δικαίου παιδὶ 196
Φασαήλου δίδωσιν, αὐτὸς δὲ χρόνου διελθόντος οἰόμενος ἤδη παρηκμακέναι τὴν ἐπιθυμίαν
τἀδελφῷ περί τε τῶν πρώτων ᾐτιᾶτο καὶ τὴν δευτέραν ἠξίου λαμβάνειν, Κύπρος δ' ἐκα-
λεῖτο. Φερώρας δὲ συμβουλεύσαντος Πτολεμαίου τὴν μὲν ἄνθρωπον ἤδη καὶ παῖδα ἔχων 197 198
ἐξ αὐτῆς ἀποπέμπεται, βασιλεῖ δὲ ὡμολόγει λήψεσθαι τὴν δευτέραν αὐτοῦ θυγατέρα καὶ
τριακοστὴν ἡμέραν ἔθετο τοῦ γάμου, συνεπομνύμενος ὡς οὐδὲν ἔτι κοινώνημα πρὸς τὴν
ἀποπεμφθεῖσαν ἔσται. διελθουσῶν δὲ τῶν τριάκοντα ἡμερῶν τοσοῦτον ἦν ἥττων τοῦ 199
ἔρωτος, ὥστε μηδὲν μὲν ἔτι ποιῆσαι τῶν ὡμολογημένων, πάλιν δὲ διατελεῖν ἐπὶ τῇ πρώτῃ.
ταῦτα φανερῶς ἤδη τὸν Ἡρώδην ἐλύπει καὶ πρὸς ὀργὴν ἦγε. διετέλει δὲ οὐκέτι τίς ἡμέρας 200
οὐδὲ ὥρα, καθ' ἣν ἀτρεμεῖν αὐτῷ συνέβαινεν, ἀλλά τι προσέπιπτεν καινὸν ἀγώνισμα τῶν
συγγενῶν καὶ φιλτάτων ἀλλήλους πεποιημένων. τοῦτο μὲν γὰρ ἡ Σαλώμη χαλεπὴ καὶ 201
δύσνους οὖσα τοῖς ἐκ Μαριάμης οὐδὲ τὴν ἑαυτῆς θυγατέρα συνοικοῦσαν Ἀριστοβούλῳ
θατέρῳ τῶν νεανίσκων εἴα τῇ τοῦ γάμου πρὸς ἐκεῖνον εὐνοίᾳ χρῆσθαι, λέγειν εἴ τι λαλή-
σειεν κατ' ἰδίαν ἀναπείθουσα. ὅθεν αὐτὴ μὲν ἅπαντα τὰ κατ' ἐκείνους ἐμάνθανε, 202
δύσνουν δὲ τὴν παῖδα τῷ νεανίσκῳ πεποιήκει. ἡ πολλάκις ἔλεγε τῇ μητρὶ ὡς μέμνηνται 203
μὲν ἰδιάζοντες ἐκεῖνοι τῆς Μαριάμης, ἐστυγήκασι δὲ τὸν πατέρα, συνεχὲς δὲ διαπειλοῦσιν,
εἰ τύχοιεν αὐτοὶ ποτὲ τῆς ἀρχῆς, τοὺς μὲν ἐκ τῶν ἄλλων γυναικῶν παῖδας Ἡρώδου
κωμογραμματεῖς καταστήσειν· ἁρμόσειν γὰρ εἰς τοιαύτην χρείαν τὸ πρὸς παιδείαν ἐσπου-
δασμένον αὐτῶν· τὰς δὲ γυναῖκας, εἴ ποτε καὶ ταύτας ἴδοιεν τοῦ μητρῴου κόσμου μετειλη- 204
φυίας, ἀντὶ τῆς παρούσης ἁβρότητος ἀπειλεῖν, ὡς τριχίνοις ἠμφιεσμέναι καθεδοῦνται μηδὲ
τὸν ἥλιον βλέπουσαι. ταῦτα εὐθὺς ἀπήγγελε διὰ τῆς Σαλώμης τῷ βασιλεῖ· κἀκεῖνος 205
ἤκουσε μὲν ἀλγεινῶς, ἐπειρᾶτο δὲ διορθοῦν, ἐκακοῦτο δὲ ταῖς ὑποψίαις. οὐ μὴν ἀλλὰ
τότε μὲν ἐπιπλήξας τοῖς παισὶν ἀπολογησαμένων ῥᾴων ἐγένετο, ταῖς δὲ ἑξῆς πολὺ χείρω
προσέπεσεν. ὁ γὰρ Φερώρας ἐλθὼν παρὰ τὸν Ἀλέξανδρον ἔχοντα τὴν Ἀρχελάου θυγατέρα 206
Γλαφύραν, Σαλώμης ἔφη λεγούσης ἀκηκοέναι τὸν Ἡρώδην ἡττῆσθαι τοῦ τῆς Γλαφύρας

6 τε] γε Iosephus — ἀλεξάνδρα Busb. — 16 φασάηλον Busb. — 23 ἠρώδη man. 1 Busb. — 39 ἡττῆσθαι, ῆ i. ras. Busb.

Zonaras I p. 443 Bonn.

207 ἔρωτος. τοῦτο οὖν ἐκεῖνος ἀκούσας ὑπό τε νεότητος καὶ ζηλοτυπίας ἐξεκαίετο καὶ τὰ κατὰ
τιμὴν εἰς παῖδα γινόμενα παρὰ Ἡρώδου, πολλάκις δὲ ἦσαν τοιαῦται φιλοφρονήσεις, ἐπὶ
208 τὸ χεῖρον ἐλάμβανεν ἐξ ὑπονοιῶν διὰ τὸν ἐκπεσόντα λόγον. οὐκ ἐκαρτέρησέ τε τὴν
ὀδύνην τοῦ πράγματος, ἀλλ' ἐλθὼν πρὸς τὸν πατέρα καταμηνύει τὰ ὑπὸ τοῦ Φερώρα
ῥηθέντα μετὰ δακρύων. Ἡρώδης δὲ μᾶλλον ἐκπαθὴς γενόμενος καὶ τὸ σὺν αἰσχύνῃ τῆς
209 διαβολῆς ἐψευσμένον οὐ φέρων τετάρακτο. καὶ μεταπέμπεται τὸν Φερώραν καὶ προσο-
νειδίσας „κάκιστε ἁπάντων, εἶπεν, εἰς τοῦτο τῆς ἀμέτρου ἦλθες ἀχαριστίας, ὡς τοιαῦτα
211 περὶ ἡμῶν νοῆσαι τὲ καὶ λαλεῖν; πότερον λόγον εἰς τὴν ψυχὴν τοῦ παιδὸς ἢ ξίφος εἰς
212 τὴν δεξιὰν ἐμβαλεῖν δοκεῖς κατὰ τοῦ γεγεννηκότος; ἔρρε κάκιστος εἰς εὐεργέτην καὶ ἀδελ-
213 φὸν γενόμενος". Φερώρας δὲ ἐπ' αὐτοφώρῳ τῇ μοχθηρίᾳ Σαλώμην ἔφη ταῦτα συμπείσειν,
214 καὶ παρ' ἐκείνης εἶναι τοὺς λόγους. ἡ δὲ ὡς μόνον ἤκουσε παροῦσα, ἀνεβόησεν ὡς οὐδὲν
εἴη παρ' αὐτῆς τοιοῦτον, καὶ ὅτι διὰ σπουδῆς ἐστιν ἅπασιν εἰς μῖσος αὐτὴν καταστήσειν
215 τοῦ βασιλέως. ἐν δὲ τῷ παρόντι καὶ μᾶλλον ἐπιβουλεύεσθαι· μόνη γὰρ ἀναπείθουσα τὸν
ἀδελφὸν ἐκβαλεῖν ἣν ἔχει γυναῖκα, λαβεῖν δὲ θυγατέρα τοῦ βασιλέως διατοῦτο μεμισῆσθαι.
216 τοιαῦτα λεγούσης καὶ τῶν τριχῶν ἐπιδραττομένης καὶ τὰ στέρνα τυπτούσης, ἡ μὲν ὄψις
εἶχε τι πρὸς τὴν ἄρνησιν πιθανόν, ἡ δὲ κακοήθεια τοῦ τρόπου τὴν ἐν τοῖς γινομένοις
217 ὑπόκρισιν ἀπεσήμαινεν. ὁ δὲ Φερώρας εἰς μέσον ἀπείληπτο, εἰπεῖν μὲν ὡμολογηκώς.
218 ἀκοῦσαι δὲ οὐ πιστευόμενος. τέλος δὲ ὁ βασιλεὺς τόν τε ἀδελφὸν καὶ τὴν ἀδελφὴν
μεμισηκὼς ἀπεπέμπετο τὸν υἱὸν ἐπαινέσας τῆς ἐγκρατείας καὶ τοῦ πρὸς αὐτὸν ἀνενεγκεῖν
219 τοὺς λόγους. κακῶς δὲ ἤκουσεν ἡ Σαλώμη· παρ' αὐτῆς γὰρ ἐδόκει κεκινῆσθαι τὰ τῆς
διαβολῆς· καί τι συμπεσὸν ἐπὶ μεῖζον ἦρε τὴν κατ' ἐκείνης ἔχθραν.

220 Ἦν μὲν γὰρ ὁ τῆς Ἀραβίας βασιλεὺς Ὀβάδας ἀπράγμων καὶ νωθὴς τὴν φύσιν,
Συλαῖος δὲ αὐτῷ διῴκει τὰ πράγματα δεινὸς ἀνὴρ καὶ τὴν ἡλικίαν νέος ἔτι καὶ καλός.
221 ὑπὸ χρείας δέ τινος ἐλθὼν ὡς τὸν Ἡρώδην συνδειπνῶν εἶδε τὴν Σαλώμην, καὶ τὸν νοῦν
222 ἔσχε πρὸς αὐτήν, γινώσκων δὲ ὅτι χήρα τυγχάνει διελέγετο. Σαλώμη δὲ τὸν νεανίσκον
223 οὐκ ἀπαθῶς ὁρῶσα πρὸς τὸν γάμον ὥρμητο. ταῦτα αἱ γυναῖκες ἀνέφερον τῷ βασιλεῖ
διαγελῶσαι τὴν ἀσχημοσύνην, Ἡρώδης δὲ καὶ παρὰ τοῦ Φερώρα προσεπυνθάνετο κἀκεῖνος
224 ἀπήγγελλεν, ὅτι νεύμασι καὶ βλέμμασιν οὐκ ἄδηλοι τῆς ὁρμῆς εἰσὶν ἀμφότεροι. διὰ τοῦτο
ὁ μὲν Ἄραψ ὕποπτος ὢν ἀπῄει· διαλιπὼν δὲ δύο μῆνας ἢ τρεῖς ἔρχεται πάλιν ὡς ἐπ'
αὐτῷ τούτῳ καὶ λόγους Ἡρώδῃ προσέφερεν, ἀξιῶν δοθῆναι αὐτῷ τὴν Σαλώμην πρὸς γάμον.
225 τοῦ δὲ Ἡρώδου πυνθανομένου τῆς ἀδελφῆς, εἰ πρὸς γάμον ἑτοίμως ἔχει, ταχέως μὲν
ἐκείνη προσήκατο, Συλαῖος δὲ ἀξιούντων αὐτὸν ἐγγραφῆναι τοῖς τῶν Ἰουδαίων ἔθεσι καὶ
τότε γαμεῖν, ἄλλως γὰρ οὐκ εἶναι δυνατόν, οὐχ ὑπέμεινεν, ἀλλὰ καὶ καταλευσθῆναι πρὸς
226 τῶν Ἀράβων εἰπών, εἰ τοῦτο πράξειεν, ἀπαλλάττεται. Σαλώμην οὖν ὅ τε Φερώρας
διέβαλεν εἰς ἀκρασίαν καὶ μᾶλλον αἱ γυναῖκες λέγουσαι κοινωνίαν αὐτῇ γενέσθαι πρὸς τὸν
227 Ἄραβα. τήν τε κόρην, ἣν τῷ ἀδελφῷ κατηγγύησεν ὁ βασιλεύς, ἣν ὁ μὲν Φερώρας οὐκ
ἔλαβεν, ὡς προεῖπον, ἡττημένος τῆς γυναικός, αἰτούσης Σαλώμης εἰς τὸν υἱὸν τὸν ἐκ
228 Κοστοβάρου γενόμενον ὥρμητο συνοικίσαι, μεταπείθεται δ' ὑπὸ τοῦ Φερώρα τὸν νεανίσκον
οὐκ εὔνουν ἔσεσθαι λέγοντος διὰ τὴν ἀπώλειαν τοῦ πατρὸς καὶ δικαιότερον εἶναι λαβεῖν

12 αὐτῆς] αὐτοῖς Busb. — 20 τοὺς om. man. 1 Busb. — 25 διελέγετο Σαλώμη in ras. Busb.



Hactenus antiqua historia. Voto autem finiendum volumen sit. Superest enim ut dies festissimus publice indicatur. **Imperatoris ac Regis Augustissimi** festum natalem civibus universis laetissimum mox celebrabit haec Academia Deumque optimum maximum, auctorem ac statorem Germanici nominis, publica voce precabitur, ut custodiat servet protegat hunc imperii statum, hanc pacem, huius amatissimi denique Principis iuventutem eumque semper validum sapientem felicem longissima statione uti sinat mortalibus destinata civiumque omnium consilia pia foveat, opprimat impia. Quorum votorum sollemnium interpres in Universitatis aula existet vir illustrissimus

# ERNESTUS ACHELIS

THEOLOGIAE DOCTOR ET PROFESSOR PUBLICUS ORDINARIUS

doctam ex more disputationem votis adnexurus. Eadem sollemnia professores ornatissimi, iuvenes artium doctarum studiosi carissimi, viri denique in quocumque honoris gradu collocati, quotquot huic favent Academiae, ut frequentes ac laeti concelebrent oratoremque benigne excipiant, Rectore magnifico invitante ea qua par est observantia oramus.